Ἐπὶ τούτοις ἐστὶ φαλάγγιον, τὸ μὲν χρῶμα καν-θάρου παρέχον, ἄλλως δὲ οὐ μέγα· ἐν τῇ Λιγύπτῳ [5] περὶ τὰ σπέρματα τούτων πλῆθός ἐστι πολὺ, καὶ τοῖς θερίζουσιν ἐμφύεται, καὶ ὀδύνην παρέχει τὸ δῆγμα. Φλυκταινῶν τε γὰρ ἐπαναστάσεις τὸν δηχθέντα ἴσχουσιν ἰσχυραὶ, καὶ ἡ καρδία πηδᾷ καὶ φρονεῖ ἀλλοῖα, καὶ φθέγγεται μανικὸν, καὶ οὐ μόνον ἡ γλῶττα τοῦτο, ἀλλὰ καὶ οἱ ὀφθαλμοὶ ὑπόθερμόν τι καὶ μανικὸν τοιοῦτον βλέπουσι.

## ΚΕΦΑΛΟΚΡΟΥΣΤΑΙ [6].

Τοὺς λεγομένους κεφαλοκρούστας ἡ Αἴγυπτος τρέφει· εἰσὶ δὲ παραπλήσιοι τῇ φαλαίνῃ. αὕτη δὲ μεταδιώκει μὲν ἀεὶ τὸ τοῦ λύχνου φέγγος, ἔρχεται δὲ δειπνούντων. οἱ δὲ καὶ κατὰ τὴν ὥραν, ἐν ᾗ περ ὁ δρόμος ἄρχεται τῆς νυκτός. ἔχει δὲ ὁ κεφαλοκρούστης τὰ μὲν πτε-

[1] ΜΥΡΜΗΚΙΟΝ. [2] τυτο. [3] παν. [4] ΦΑΛΑΓΓΟΕΙΔΕΣ Η ΚΑΝΘΑΡΟΕΙΔΕΣ. [5] αιγυπτου. [6] Deest hic titulus. Caput vero inc. Τους κεφαλοκρυσας οι λιγονται η αιγυπτος τρεφει. εισι δε οι κεφαλοκρουσαι παραπλησιοι τη φαλλαινη κ. λ.

πτερὰ, ξενὰ, καὶ χλωρὰ, καὶ οἷα κεκονιαμένην [1] τὴν χροιὰν ἔχοντα. τοιγαροῦν [2] τὰς χεῖρας ἴδοις ἂν πολλάκις τοῦ προσαψαμένου τοῦ κρανοκολάπτου. οὕτω γὰρ αὐτὸν καλοῦσιν οἱ ἐπιχώριοι. γεννᾶται μὲν οὖν οὗτος ὑπὸ ταῖς περσίαις, τὴν δὲ κεφαλὴν κεκλιμένην ὡς ἑτέρως
Pag. 108. ἔχει, καὶ ἐπ' αὐτῆς ἀνέχη [3] τὸ κέντρον, καὶ κρύπτειν αὐτὸ πειρᾶται ὑπὸ τὸν αὐχένα. βαρύνεται μέντοι τὴν γαστέρα, καὶ τὸ πλῆγμα αὐτοῦ εὐπετῶς εἰς θάνατον φέρει.

## ΠΕΡΙ ΤΟΥ ΕΙΔΟΥΣ ΤΩΝ ΣΚΟΡΠΙΩΝ [4].

Τὰ δὲ δὴ κατὰ τοὺς σκορπίους λεκτέον εἴδη [5] ἄττά ἐστι, κέντρα ἔχουσιν, οἷς παίουσι· καὶ λίαν ἀλγοῦσιν οἱ πληγέντες· ἔπειτα δὴ τούτων ὁ μέν ἐστι λευκὸς, βλαβερὸς δὲ ἧσσον.

## ΠΕΡΙ ΤΟΥ ΠΥΡΡΟΥ ΣΚΟΡΠΙΟΥ [6].

Ὁ δέ γέ τοι πυρρὸς, ὡσεί τι [7] μάλιστα ἐπώδυνος. τὸ γὰρ πλῆγμα οἷον ἀπὸ τοῦ πυρὸς καιόμενον [8] τὸν πληγέντα εἰς αἴσθησιν ἄγει, καὶ φλεγόμενόν τε ἐστὶν ἰδεῖν δεινῶς ὑπὸ δίψους αὐτὸν καὶ ἀπολλύμενον.

## ΠΕΡΙ ΤΟΥ ΖΟΦΟΕΙΔΟΥΣ [9].

Ὁ δὲ δὴ τρίτος, ὃν ζοφόεντα κεκλήκασιν, οἶμαι, ἐστὶ [10] τοιοῦτος. μεγάλων ἐμπίμπλησι τοὺς πληγέντας κακῶν. ὀδυνῶνται [11] γὰρ πάνυ σφόδρα, καὶ παραπαίουσιν οἱ τοιοῦτοι, καὶ γελῶσι πλατύ.

ΠΕ-

[1] κεκονιμενην. [2] κεκονιμενας τοιγαρουν. [3] ανεχει.
[4] ΣΚΟΡΠΙΟΣ ΛΕΥΚΟΣ. [5] pro λεκτέον εἴδη habet λεκτεον γαρ ηδη περι αυτων τοιαυτα. [6] Abeſt hic titulus.
[7] ως οτι. [8] κτομενον. pro diphthongo enim αι ſaepe ι adhibet, quod ſemel adnotaſse ſufficiat. [9] ΖΟΦΟΕΙΣ.
[10] ιζι γαρ. [11] οδυνωνται τε.

## ΠΕΡΙ ΤΟΥ ΧΛΩΡΟΕΙΔΟΥΣ [1].

Ἐὰν δὲ ὁ χλωρὸς οὗτος πλήξας τύχῃ τινὰ, ὄψει δὴ καὶ τοῦτον ἐχόμενον μεγάλῃ μὲν φρίκῃ, καὶ οἷον ἀπὸ χαλκοῦ [2] ἐπεωρηθήσει [3]. ἢν δὲ κ᾽ ὅταν ὁ ἥλιος αὐτὸς ὢν οὗτος ἑαυτοῦ θερμότερος, τύχῃ ὑπὸ τοῦ [4] σκορπίου τις τῷ τούτου πλήγματι γένηται, οὐκ ἂν μὴ ῥιγῶντα καὶ τοῦτον ὄψει ὡς χειμῶνος [5]. τὸ μέν τοι κέντρον αὐτοῦ κοπίδι ἔοικεν, καὶ ἐννέα εἰσὶ τοῦ νώτου ἄχρι τῆς ἄκρας οἱ σφόνδυλοι [6].

## ΠΕΡΙ ΤΟΥ ΠΕΛΙΟΥ ΣΚΟΡΠΙΟΥ [7].

Ὁ δὲ ἐμπέλιος τῶν σκορπίων γαστέρα μὲν μεγάλην ἔχει, ποηφάγος δέ ἐστιν ἄλλως, καὶ σιτεῖται τὴν γῆν, τὸ δὲ τοῦ πλήγματος αὐτῷ λοιμὸν [8] ἐμποιῆσαι, ὁτωοῦν βαρύτατόν ἐστιν.

## ΠΕΡΙ ΤΟΥ ΚΑΡΚΙΝΟΕΙΔΟΥΣ [9].

Σκέψαι δὴ καὶ τοῦτον τὸν σκορπίον, ὡς προσφερὴς ἐστὶ τῷ καρκίνῳ, οὗ τὴν νομὴν ἴσασιν ὑποδεχόμενοι αὐτὸν πολλοὶ τῆς θαλάττης αἰγιαλοί. pag. 110.

## ΠΕΡΙ ΤΟΥ ΠΑΓΟΥΡΟΕΙΔΟΥΣ [10].

Παγούρῳ δὲ ἔοικεν ὅδε, τῷ καὶ πετράγῳ καρκίνῳ προσαγορευθέντι ὁ σκορπίος [11]. βαρεῖται δ᾽ οὖν οὗτος ὑπὸ σαρκῶν, καὶ ἐστὶ ταῖς χηλαῖς κατάσκληρος, καθάπερ ἐκεῖνος ὁ καρκῖνος. μεταβαλεῖν [12] γὰρ οὗτος αὐτὸν, καὶ σκορπίον ἐκ καρκίνου γίγνεσθαι, ἁλιέων παῖδες ἡμᾶς διδάσκουσι ταῦτα. ἐπειδὰν γάρ, φασιν, οἱ καρκῖνοι ἐναλ-

[1] ΧΛΩΡΟΣ. [2] χαλαζης. [3] επεωρηθεισι. [4] τω τυ. [5] ως χειμωνος οψει. [6] σφονδολοι. [7] ΕΜΠΕΛΙΟΣ. [8] αυτου λιμον. ΟΜΟΙΟΣ ΑΙΓΙΑΛΗΙ ΣΚΟΡΠΙΩ. [10] ΠΑΓΟΥΡΟΕΙΔΕΣ. [11] σκορπιος παντη. [12] μεταβαλλειν.

ἐναλλάξωσι τὴν δίαιταν, καὶ τῆς θαλάττης καὶ πετρῶν καὶ βρύων τῶν ἐν τῇ θαλάττῃ ἀναγκασθῶσιν ἐκχωρῆσαι, πάσχουσι δὲ αὐτὸ δικτύοις περιβαλλόμενοι, καὶ ἔξω φέρονται βίᾳ ὑπὸ τῶν ἰχθύων [1], δεῦρο ποιουμένων θήραν, ἐνταῦθα ἔξω γενόμενοι, καὶ μετασχόντες τῶν ἐν τῇ γῇ, ἔπειτα κατά τινων ἐλθόντες φωλεῶν, καὶ δύντες ἀποθανόντες, οὐκ εἰς μακρὰν πιοῦ [2] ἐκ τῶν ἑλύτρων ἀνῆκαν φέρεσθαι τῶν ἑαυτοῦ [3]. λωβῶνται μέν τοι τὸ σῶμα, ᾧ τινος ψαύωσιν [4] ἠρκότες τὸ κέντρον.

## ΠΕΡΙ ΤΟΥ ΜΕΛΙΧΛΩΡΟΥ [5].

Μελίχλωρός ἐστι σκορπίος, καὶ ὀνομάζεται ἀπὸ τούτου. ἔχει γὰρ τὴν χροιὰν κιρίνην, καὶ τὸ ἄκρον μελαίνεται τῆς οὐρᾶς. ἔστι δὲ τὸ δῆγμα χαλεπὸν μὲν πᾶσιν οὗτος, μάλιστα δὲ παιτὶ, καὶ εἰς τὸν θάνατον τοὺς παῖδας παραμικρὸν ἄγει. οὗτος οὖν ὁ σκορπίος καὶ γὰρ πτερὰ ἔχει, καθίπταται τῶν πυρίων, καὶ
pag. 112. νέμεται τούτους, καθάπερ ἡ ἀκρίς. τῆς δὲ καρίας ἐμπηδᾶσι [6] ὁ σκορπίος οὗτος, καὶ παρὰ τὸν κισσὸν ταύτῃ που γίνεται τὸ χωρίον.

## ΠΕΡΙ ΤΟΥ ΒΕΜΒΗΚΟΣ.

Ἐπίσταμαι δὲ κἀκεῖνο, ὅπως ἂν ἀπέλθῃ [7] θερατευθεὶς, καὶ ὁ πληγεὶς ὑπὸ τοῦ βέμβηκος. ὁ γὰρ βέμβηξ οὗτος τυγχάνει μὲν τὸ πλῆγμα ὡς ὅτι μάλιστα ἐπώδυνος, ἀποθνήσκει δὲ παραυτίκα, ὅτι τὸ κέντρον ἐξερύσαι πλήξας. ἔτι οὐχ οἷός τέ ἐστιν, ὥσπερ οὖν οὐδὲ αἱ μέλιτται διαφυγγάνουσι τὸν θάνατον, ἀποβαλοῦσαι τὸ κέντρον, αὐτίκα τοῦ πλῆξαι ἀμύνασθαί σφισι

τὸν

[1] τον ιχθυν. [2] σκορπιους. [3] ταυτων. [4] ψαυτωσι.
[5] Absunt, & huius, & sequentis Capitis tituli. [6] εμπηδασοις. [7] απιλθοι.

τὸν μελιττουργὸν αὐταῖς. ἐπειδὰν δέ εἰσιν [1] οὕτως, οὐδὲ ὁ βέμβηξ ἄρα τοῦ κέντρου στερηθεὶς ἔτι ζῆν δυναται, ἀνώλεθρος μὲν γὰρ διαμένει περισώζων αὐτό. ἄκεντρος δὲ ἐπειδὰν γένηται, ὁ θάνατος ἐπιλαμβάνει αὐτόν τε ὁμοίως καὶ μελίττας ἀποβαλούσας ἐν τῷ πλήττειν καὶ ταύτας τῷ κέντρῳ [2].

Sequens Caput deerat in Mediceo.

ΙΟΥΛΟϹ, ϹΦΗΞ, ΤЄΝΘΡΗΔΩΝ, ϹΚΟΛΟΠЄΝΔΡΑ.

Οιδα δε ωσαυτως εγω και ο ιουλος μεν οπως πληττει. οπως δε γε ο σφηξ και ιασαιτ αν τις οπως αυτα και το της τενθρηδονος κεντρον και το της αμφικεφαλου σκολοπενδρης δηγμα η καθ οποτερα ιν αν τρωσας τυχηται κεφαλαιν πολλακις αναιρει. εχει δε συνεχεις τους ποδας και εοικεν ερεττομενη πολλων υπο κωπων η δ' εκεινου μενηνηει.

ΠΕΡΙ ΤΗΣ ΜΥΓΑΛΗΣ [3].

Τυφλὴ δέ ἐστιν ἡ μυγαλῆ φύσει, ὀλέθριόν τε τὸ ταύτης τοῖς ἀνθρώποις ἐστὶ, καὶ ἀναιρεῖ δῆγμα. λόγος δὲ καὶ ταύτην ἀπόλλυσθαι ἁμάξης, ἢν τύχῃ παρελθούσης ἐπιστῇ τοῦ ἴχνους ἡ μυγαλῆ, ὁπόθεν ὁ τροχὸς διέρχεται.

ΠΕΡΙ ΤΗΣ ΣΗΠΙΟΣ ΚΑΙ ΣΑΥΡΑΣ [4].

Περὶ δὲ τῆς σηπίος, ἣν οὕτω λέγουσιν, ὑπόχαλκός ἐστι τὴν ἰδέαν. σαύρας δὲ οἷον ἂν ἴδοις τῆς μικρᾶς [5] ἐστι τὸ μέγεθος αὐτῆς, καὶ τὸ δῆγμα ὁμοίως πονηρόν.

[6] Χαλεπὸν δέ ἐστι θηρίον καὶ ἡ καλουμένη σαλαμάνδρα. ἀδικεῖται δ' οὖν ὑπὸ πυρὸς οὐδὲν, ἀλλὰ ἐν τούτῳ διαι- pag. 114.

Z τᾶ-

[1] ηση. [2] το κεντρον. [3] ΜΥΓΑΛΗ. [4] ϹΗΨ, ϹΑΥΡΟϹ.
[5] σμικρας. [6] Praefigitur huic Capiti titulus ϹΑΛΑΜΑΝΔΡΑ.

τᾶται, καὶ μένει παρὰ τῷ πυρὶ, καὶ διέρχεται ἀβλαβῶς, καὶ τὸ δέρμα ἡ σαλαμάνδρα πᾶν κατάστικτον ἔχει.

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΗι ΘΑΛΑΤΤΗι ΖΩΩΝ[1].

Καὶ ὁ βυθὸς τρέφει τῆς θαλάττης ζῶα, καὶ λιμαίνεται τῶν ζώων τούτων. τοῖς ἀνθρώποις τοίνυν[2] ἡ σμύρκινα τοῖς ὀδοῦσι κακὰ ἐργάζεται, καὶ οἱ πάσχοντες ὑπ' αὐτῆς εἰσιν οἱ ἁλιεῖς τὰ δεινά. μετὰ γὰρ τὴν θήραν ἐξορμῶσα, καὶ οὗ περ ἐτάχθη πολλάκις κατὰ χώραν πλοιαρίου μένειν, ἐμφύει τοὺς ὀδόντας τοῦ ἁσπαλιεύτου τῷ σώματι, ἵνα περ ἂν τύχῃ. λέγεται μέντοι περὶ τῆς σμυρκίνης ἆρα καὶ ὅδε λόγος[3], ὅτι δὴ τὰς ἐν τῇ θαλάττῃ καταλιμπάνουσα διατριβὰς, ἐπὶ τῆς γῆς ἔξω[4] ἔρχεταί τε εἰς ὁμιλίαν, καὶ φοιτᾷ[5] παρὰ τὸν ἔχιν, οἷον ἐρωμένη πρὸς ἐραστήν.

## ΠΕΡΙ ΘΑΛΑΣΣΙΟΥ ΔΡΑΚΟΝΤΟΣ, ΚΑΙ ΤΡΥΓΩΝΟΣ[6].

pag. 82. v. 14. [7] Καὶ μὴν καὶ ὄρνιθος τῆς ἐν ποσὶν καὶ ἐν οἴκῳ οὔσης ὁ περιελὼν μετὰ τὸν τοῦ ὀστέου ὡς οἷόν τε αὐτοῦ πᾶ τοῦ ἐγκεφάλου τὸν ὑμένα, πολύκνημόν τε ἐπὶ τούτοις λεπτὸν, ἔτι μὴν καὶ ὀρίγανον, καὶ ὕπατος κάπρου τὸ ἄκρον τοῦ λοβοῦ, τοῦτο δὲ ἐξ αὐτῆς τῆς λεγομένης τραπέζης ἀνέχειν πέφυκε τὸ ἄκρον τοῦ λοβοῦ ἐνταῦθα συνενένευκεν[8] ἡ τοῦ ζώου χολὴ, καὶ εἰσὶ σχεδὸν πλησίον pag. 84. ἐκείνου τοῦ λοβοῦ αἱ αὐταί που λεγόμεναι τοῦ ὕπατος πύλαι. ἰδίᾳ τοίνυν ἕκαστον τρίψας ἐπιμελῶς, τόν τε ἐγκέ-

[1] Hic vero titulus deeſt. [2] τινα [3] ὁδε ο λογος. [4] Inter ἔξω & ἔρχεται haec leguntur, και τα της γης παλιν χωρια πρεπεται. [5] φυτα. [6] ΔΡΑΚΩΝ ΘΑΛΑΣΣΙΟΣ. [7] Reſtituuntur heic omiſsa ſuperius, nimirum a verſu 557. ad verſ. 725. [8] συνεπτυκεν.

κέφαλον αὐτὸν καθαρὸν ποιήσας τοῦ ὑμένος, καὶ τὰ ἄλλα πάντα συναγαγὼν δίδου ἅμα ὄξει πιεῖν τῷ πληγέντι. ἄμεινον δὲ ποιήτει μετ' οἴνου.

ΚΥΠΑΡΙΣΣΟΣ, ΠΑΝΑΚΙΟΝ, ΚΑΣΤΟΡΙΟΝ.

Θερρούντα δὲ δὴ προσήκει κἀκεῖνο[1] κεχρῆσθαι, ὃ πινόμενον μὲν οἰνίνῃσι καὶ ἀσινῆ διαφυλάττει, ἢν ὑπὸ θηρίου τις ὢν τετρωμένος τύχῃ, ἄλλως δέ ἐστιν αὐτὸ οὐ χαλεπὸν δρᾶσαι. κυπαρίττου τοίνυν ἔστω φύλλα καὶ πανάκιον ἡ βοτάνη, καστορός τε ὁμοίως τοῦ ζώου οἱ λεγόμενοι κρεμαστῆρες, καὶ ἵππου, ὃν ὁ Νεῖλος ἐπὶ κακῷ τοῖς ἐν Σάει φέρει. ἐξελθὼν γὰρ οὗτος τοῦ ποταμοῦ λυμαίνεται αὐτῶν τὰ σπέρματα, κείρων τοῖς ὀδοῦσιν ἐπὶ πολὺ, κἄυθις ἐπανερχόμενος ἐν τῷ Νείλῳ, εἴ τις ἀφελόμενος πρὸ τῆς[2] ὥρας σκείτας τοῦ θέρους. ἕκαστον τοίνυν τούτων ἔστω τὸ βάρος εἰς δραχμὴν ἕλκοντος, εἶτα ἢν ἑνίῃς ταῦτα κόψας ὡς χρὴ δίδόναι, τετρωμένῳ δίδου πιεῖν[3] μεθ' ὕδατος μέντοι.

ΑΒΡΟΤΟΝΟΝ, ΑΜΑΡΑΚΟΝ, ΠΟΛΙΟΝ.

Οὐ μὴν ἀλλ' ἔτι χρὴ λήθην ὑμᾶς μηδὲ τούτων ἄγειν, ἀλλ' οἷόν τι δὴ τότε ἀβρότονον ἐμβάλλοντας καὶ δάφνης τῆς ἄῤῥενος ἔτι μὴν τὸν καρπὸν, διακρίνοις δ' ἂν αὐτὴν[4] ἀπὸ τῆς θηλείας τὴν ἄῤῥενα, εἴπερ ἐπισκεψάμενος εἰς[5] φύλλα τὰ παρ' ἀμφοτέρχις. μαθὼν γὰρ δὴ[6] τὰ ταύτης, ὥς που τυγχάνει στενώτερα τὴν[7] φύσιν, μετὰ μὲν δὴ τούτων τῶν βοτανῶν, ἡ ἀμάρακος ἐμβαλέσθω. φέρουσι δὲ αὐτὴν κῆποι, καὶ τῶν ἀνθήρων οἱ πλείονες, πυτία τε ἀρτιτόκου πρὸς τούτοις λαγωοῦ καὶ δορκάδος



[1] κακεινω. [2] πρωτης. [3] πιειν ωδε. [4] αυτην ταυτην. [5] εικς. [6] δηλαδη. [7] ςενοτερα του την, in margine vero leguntur haec: αγνον σεισουκετι του λοιπου του.

pag. 86. καὶ ταύτης νεογνοῦ, καὶ ναρῶν [1] τὰ περιττώματα, καὶ ἐχῖνον ἐλάφου μέρος ἐστὶν ἐχῖνος ἐλάφου τῆς γαστρὸς, καὶ ὑπ' ἄλλων κερκύφλος αὐτῷ ὄνομα τέθηται. ἀφ' ἑκάστου δὴ τούτων ἀνὰ δραχμὰς β' οἴνῳ μὴν κεχρημένος [2] τέτρασι κοτύλαις, καὶ τούτου δὴ λευκοῦ, διδόναι χρὴ πίνειν τοῖς ἐν χρείᾳ καθεστηκόσι μετὰ τὸ δηχθῆναι. Ἐχόμεθα [3] δὲ καὶ τῆς ὠφελείας, ἧς περ παρέχεται τὸ πολιόν. ὅτε γὰρ καρπὸς ὁ τῆς κέδρου, καὶ ὁ τῆς ἀρκεύθου ἅμα δὴ τοῖς ἀπὸ τῦ [4] πλατάνου γιγνομένοις σφαιρίοις, ὡς ἔστι κατιδεῖν, καὶ τῷ σπέρματι τοῦ βουπλήρου [5], καὶ τῆς κυπαρίττου τῷ καρπῷ, καὶ ἐλάφου πρὸς τούτοις διδύμοις ὁμοῦ συμβληθέντα, ἐκσώζειν [6] ἰσχύῃ πινόμενα, κἂν ὀπωτῦν ἔχειν πονηρῶς ὁ δηχθεὶς δόξειεν ἀπὸ τοῦ θηρίου.

## ΚΟΛΥΜΒΑΛΙΟΝ, ΙΠΠΟΜΑΡΑΘΟΝ.

Θεραπεία δὲ τοῦ κινδυνεύοντος ἐκ πληγῆς θηρίου πρὸς ταῖς ἤδη ῥηθείταις ἔστω τις καὶ ἥδε [7] ἡ βοτάνη ἡ λεγομένη κολυμβατία. νομίζων τις ἐμβαλλέτω θυΐᾳ, εἶτα λεαίνων πάνυ σφόδρα, πτίσον εἰς [8] κοτύλην χυλοῦ καὶ οἴνου κυάθους παλαιοῦ [9] β', καὶ ἐλαίου β', καὶ τέτου καθαροῦ, εἶτα ἐπιβκλὼν [10] καὶ διδοὺς ἀπώσεται τὸν ἰὸν, καὶ οὐκ ἐάσει τὸν πληγέντα τοῦτον ἀπολέσθαι κακῶς. καὶ μὴν καὶ ἱππομαράθου ῥίζαν, καὶ κέδρου καρπὸν καὶ πίσσης ἔτι μὴν τῆς ὑγρᾶς, ὡς κοτύλης ἕκτον, καὶ χλωροῦ νάρθηκος κυλία, καὶ ἱπποσελίνου σπέρμα, ὀξυβάφου μέτρον ἐχέτω τὸ ἱπποσέλινον, σμύρνης τε τῆς πικρᾶς, δραχμὰς μετὰ πάντων β', καὶ κυμί-

pag. 88. νου

[1] νεβρων. [2] κεχρημενους. [3] εχωμεθα. [4] της. [5] βουπλευρου. [6] εξσωζειν. [7] ηδι κολυμβατικη την βοτανην την λεγομενην κομιζων, κ. λ. [8] πτισανης. [9] τω παλαιου. [10] επιβαλλων.

νου τὸ ἀρκοῦν προστρίψας τούτων τὸ αὐτάρκες ἐμβαλὼν εἰς οἴνου κύαθον, ἀπνευστὶ παρεχέτω πληγέντι πίνειν.

## ΝΑΡΔΟΣ, ΚΑΡΚΙΝΟΣ ΠΟΤΑΜΙΟΣ, ΜΥΡΙΚΗ, ΚΟΝΥΖΑ.

Νάρδος ἐστὶ βοτάνη, ὁ σταθμὸς ἔστω ταύτης, δραχμή. καὶ ποτάμιος καρκῖνος ἐν ποταμῷ πάνυ καὶ προσφάτῳ γάλακτι τριβέσθω λίαν ἐπιμελῶς, ἶρις τε ἡ παρὰ Ῥίδωνα καὶ Νάρωνα γεωργουμένη τοὺς ποταμοὺς, οὗπερ δὴ Κάδμον ἀφίκεσθαι τὸν Σιδόνιον πεποίηκε, κἠ Ἁρμονίαν ἐνταῦθα ὁ λόγος λέγεσθαι, καὶ ὅτι δράκοντες ἐγένοντο, καὶ νέμονται ταύτην, καὶ ταῦτα ὁμοίως ὁμολογεῖ. ἄνθη τε ἐρίνης[1] ἐμβαλέσθω, ἃ τῆς μελίτταις εἶναι δοκεῖ κομιδῇ ποθεινὰ, μυρίκη τε, ἧς ἡ φύσις ἐδέξατο πλῆρον, τοῦ μὴ φέρειν καρπόν. λέγεται μέν τοι καὶ ὡς ἥδε παρὰ[2] πολλῶν ἐν τῷ ὡρωπῷ τιμῆς ἠξιώθη, τούς τε δὴ οὖν μάντεις καὶ προφήτας ἐστεφανωμένους αὐτῶν τὰς κεφαλὰς κλάδοις προλέγειν ὅσια τοῖς ἀνθρώποις, ἵνα φρονεῖν καὶ δίκαια. ἥ τε δὴ κόνυζα, καὶ οἱ τῆς ἀκτέας κλάδοι ὁμοῦ τοῖς ἄνθεσι καὶ τοῖς φύλλοις αὐτοῖς, σάμψουχόν τε καὶ κύτισσον ἅμα τιθυμάλλῳ, καὶ ταῦτα ἐμβαλέσθω θυΐᾳ, εἶτα μιγνύμενα λιούσθω σφόδρα ἐπιμελῶς, μετὰ δὲ ταῦτα ἐν σκαφίδι οἴνου προσπλεκομένου συναναμιγνύσθω, ὁ δὲ οἶνος μέτρον ἔστω δέκατον τοῦ χοός. page 90.

## ΒΑΘΡΑΞ, ΕΛΙΧΡΥΣΟΣ, ΜΥΟΥΛΗΣ.

Ἀμείνους τῶν νέων βατράχων εἰσὶν εἰς θεραπείαν οἱ παλαιοὶ, καὶ μεγάλα ὀνίνησι τοὺς πληγέντας ὑπὸ θηρίου, ἢν μέντοι εἰς ὄξος αὐτούς τις καθεψήσας πάνυ πί-

[1] ιρικης. [2] παρα πολλων ως η μυρικη τον εν τω, κ. λ.

πίνειν ἐπιδίδοι τῷ κάμνοντι. οὐ μὴν ἀλλὰ καὶ καθ' αὑτὸ ἥπαρ βατράχου διδόμενον, οὐχ ἥτσον ὠφελεῖ. ὠφελεῖ δὲ τοῦτο ὧδε οἴνῳ[1] ποθὲν, σὺν οἴνῳ δὲ οὐχ ἁπλῶς πινόμενον[2], ἔτι μὴν καὶ ἡ τοῦ τρώαντος ὄφεως κεφαλὴ τὸν ὑπ' αὐτοῦ τετρωμένον ἀπαλλάττειν κακῶν ὕδατι μὲν ἀποπλυθεῖσα πάνυ ἐπιμελῶς, εἰς οἶνον δὲ ἀποβαπτισθεῖσα, ἤν τις πίῃ αὐτοῦ οὐδενὸς μεθέξει τῶν δυσχερῶν. ἀτὰρ οὖν καὶ τῆς ἐλιχρυσου βοτάνης ἐπιμελῶς ἔχε, καὶ τοῦ ἄνθους αὐτῆς τοῦ γλυκέος τὴν θεραπείαν ἐπίστασθαι μηδαμῶς παραιτοῦ, κορχόρου τε δὴ καὶ τῆς μύου[3] ὀνομαζομένης. λέγεται γὰρ οὖν[4] μυόνη ἡ βοτάνη τῆς κατὰ τὰς ἀκτὰς κονίλης που λεγομένης φύεσθαι ἡρακλέως[5] ὑπό τινων ὀνομαζομένη[6], ὑπὸ δὲ ἄλλων ὀρίγανον προσαγορεύεται. ἔστι δέ τις καλουμένη ὄνου[7] πέτηλα, βοτάνη καὶ αὐτὴ, καὶ τὸ ὀρίγανον, καὶ τὰ στρόμβια τῆς βύμβρης, ἃ[8] κάλλιστον εἰδέναι, καὶ οὐκ ἂν μήποτε ὑγιὴς ὁ τούτῳ χρώμενος τῷ φαρμάκῳ διὰ πάντων ὀφθῇ.

## ΡΑΜΝΟΣ, ΠΑΡΘΕΝΙΟΝ.

Pag. 92. Ἐπίστασο δὲ καὶ τὴν ταῖς μικραῖς μικρωνίσιν[9] ἐοικυῖαν ῥάμνον, τὸ λευκόν τε καὶ εὔανθες παρέχουσαν ἄνθος, ἣν που φιλέτερον μὲν ἄλλοι, φιλάλληλον δὲ ἄλλοι προσονομάζουσι, Λυδῶν εἰσι παῖδες οἱ τοῦτο λέγοντες, τοῦ Τμώλου δέ εἰσι μὲν Λυδοὶ[10] πρόσοικοι, δείκνυται δὲ ὡς ἔστι παρ' αὐτοῖς τὸ Γύγου σῆμα, καὶ οἱ τὸ Παρθένιον ἔτι μὴν οἰκοῦντες καὶ Κίλβιον ὄρος, ἔνθα εἰ-

[1] αμα οινω. [2] πινομενον αλλα εξ αιγυπτου ετι, κ. λ. [3] της και μυου. [4] ην και μυσνη η δε βοτανη, ἡ της, κ. λ. [5] τις υπο. [6] Deeſt ὀνομαζομένη. [7] βοτανη ονου πεταλεια ἡ τὸ, κ. λ. [8] Deeſt ἃ. [9] μικωνισαν. [10] οι Λυδοι.

εἰσὶν ἵππων ἀγέλαι καὶ νέμονται πολλαὶ, καὶ μέν τοι καὶ τοῦ Καϋστρου πυγαὶ ἐντεῦθεν ἄρχονται.

## ΕΧΙΟΝ, ΑΓΧΟΓΣΑ.

Ἀλλά τοι καὶ ῥίζαι τυγχάνουσιν, αἳ τοὺς πληγέντας ὀνίνησιν, ἢν ὑπὸ ὄφεων δηχθῶσιν, καὶ περισώζονται [1] τοῦ κινδύνου, ἃς χρὴ σε παρ' ἐμοῦ μαθοντα, δυνάμεις τε δὴ τὰς τούτων καὶ τὰς θεραπείας ἔπειτα εἰδέναι, καὶ πρῶτον μὲν τὴν ἔχιον βοτάνην οὕτω καλουμένην. εἶδος δὲ οὐχ ἓν ἐστι τοῦτης, ἀλλ' ὑπάρχει β'. ἡ μὲν οὖν ἑτέρα τούτων ἀγχούσῃ εἴκασται. ἔστι γὰρ τὰ φύλλα τραχύτερα, καὶ οὐδὲ ἀνέχει πολὺ τῆς γῆς, οὐδὲ τοὺς καλύκους εἰς πάχος αἰρομένους ἔχει, ἡ μέντοι ῥίζα ἐκτέταται, καὶ ἐτιπολὺ διήκει κατὰ τῆς γῆς κάτω. δασεῖα δὲ ἡ ἑτέρα καὶ σφόδρα ἄφυλλος, αἰρομένη τε εἰς ὕψος ὑπ' ἀδρὰς τρέφουσα τοὺς καλύκας. ἀνθεῖ δὲ οἷον ἡ πορφύρα, ὑπ' ἔστιν αὐτὴν ἰδεῖν οὐ πόρρω ἀνθοῦσαν τῆς βοτάνης, ἧς ἐστι χαλκῆς τὸ ὄνομα, τὸ δὲ πρέμνον διασῴζον ἂν κατίδοις αὐτὴν, τῆς [3] ἐχίδνης μορφήν. τούτων ἀμφοτέρων λαβὼν ἰσόσταθμον μοῖραν, ἢ [4] ῥίζης ἀκάνθου, καὶ τοῦ ἠρυγγίου τὸν αὐτὸν ἐκείναις παρεχούσας σταθμὸν, ἐμβαλὼν εἰς θυΐαν, ποίει λεπτά. τοῦ μὲν δὴ συνάγειν ὁ καιρὸς τὰς ῥίζας ταύτας, τὸ ἔαρ ἔστω σοι. ὁ δὲ κομίζων αὐτάς τις τραχὺς ὑπαρχέτω τόπος. ἐπιτήδειον κατασκευάσεις ἐκ τούτων φάρμακον τοῖς ὑπὸ ὄφεων δηχθεῖσιν, ἢ ἄλλων ἑρπετῶν.

## ΣΕΛΙΝΟΝ ΟΡΙΟΝ, ΧΑΜΑΙΛΕΩΝ ΛΕΥΚΟΣ, ΚΑΙ ΜΕΛΑΣ.

Ἔτι [5] δὲ τὸ ὀρινόν ἐστί τις βοτάνη, ὑπάρχει δὲ pag. 94.

[1] περισωζυσι. [2] εχειον. [3] αυτης την. [4] ὴ. [5] Οτι.

δὲ [1] τραχεῖα, καὶ [2] φύλλων τῇδε ἐπίκειται πλῆθος, γιγνώσκειν μοι δοκεῖ αὐτὴν [3] τὴν βοτάνην, καὶ τὸ σπειρόμενον, ὧδε πρὸς τούτοις σέλινον, ὃ γίγνεσθαι μὲν ἐν Νεμέᾳ τοπρῶτον ἤρξατο, οὐδὲ πώποτε [4] τῶν ἑαυτοῦ ἔρημον ἀφεθῆναι [5] φύλλων. τοῦτο τὸ σέλινον δὲ δύνηται καὶ διπλάσιον ἀννήσου σὺν αὐταῖς ταῖς ῥίζαις τούτων τὴν ὁλκὴν παρέχοντος. ὁ δυνάμενος κατὰ λόγον συναγαγεῖν ταύτας ὁμοῦ πάσας, καὶ κατασκευάσαι, ἕξει μὲν τοῖς ὑπὸ ἔχεων δηχθεῖσιν εὐπετῶς βοηθεῖν, ἕξει δὲ καὶ τοῖς πληγεῖσιν ὑπὸ τῶν σκορπίων, καὶ τοῖς τῶν φαλαγγίων ἁλῶναι πάθεσιν οὐ παραχωρήσει, ἢν μόνον κατασκευαζόμενον ἐπιμελῶς τυχῇ τοῦτο τὸ φάρμακον. ἔστω δὲ τρίτον, ὀβολοῦ σταθμὸς τὸ διδόμενον τῷ δηχθέντι, καὶ εἰς οἶνον πιεῖν.

## ΧΑΜΑΙΛΕΩΝ [6].

Χαμαιλέων βοτάνη λέγεται, καὶ ἐστὶ γένη δύο τῆς βοτάνης ταύτης, καὶ ὁ μὲν τοῦ μέλανος χαμαιλέων γένους ἐς ἴσον ἔρχεται, τά τε φύλλα καὶ τὴν τραχύτητα ἐν αὐτῷ τοῦ σκολύμου φέρων, ῥίζαν δὲ μεγάλην ἅμα καὶ μελαίνην ἔχει. γίγνεται δὲ ἐν ἀνηλίοις χωρίοις καὶ δυσβάτοις ἄλλως. ὁ δὲ ἕτερος τοῦ λευκοῦ χαμαιλέων γένους, ὑψηλὸς μὲν ὁρᾶται, καὶ ἄνω τῆς γῆς οὗτος ὑπερέχων πολύ, ὡς ἕτερος [7] δὲ κλινομένην καὶ βριθουσαν δι' ἀσθένειαν κάτω τὴν κεφαλὴν ἔχει. γλυκείαν δὲ παρέχει ἑαυτὴν ἡ ῥίζα γεύσασθαι, καὶ οὐ πάνυ λευκήν. ὠφελεῖ δὲ ὁ μὲν μέλας ἥκιστα χαμαιλέων, ὁ δὲ

[1] δε δη. [2] ᾗ ως. [3] αυτην τοινυν ταυτην την βοτανην, κ. λ. [4] πωποτε δι. [5] οφθηναι. [6] Omittitur hic titulus; quae vero sequuntur, sine ulla distinctione adiuncta sunt antecedentibus. [7] ετερος.

ὁ δὲ λευκὸς πάνυ, ἣν τά τε φύλλα καὶ τὸν φλοιὸν τῆς ῥίζης ὡς εἰς δραχμὴν κόψας ἐπιχέας ὕδατι δοίης οὕτω πιεῖν. pag. 96.

## ΑΛΚΙΒΙΟΝ.

Ἀλκίβιον ἄλλη τις ἐνταῦθα κέκληται βοτάνη, ἧ τοὔνομα μὲν ἐτέθη ἀπὸ τοῦ εὑρόντος. δίδοται δὲ [1] αὐτῆς τοσοῦτον μετ' οἴνου, ἣν τις δηχθῇ πιεῖν, ὁπόσον χεὶρ ἀνδρὸς δύναται δεξαμένη χωρεῖν. περὶ δὲ ἀλκιβίου τὰ λεγόμενα ταῦτά ἐστιν, ὡς ἦν, φησιν, ἀνὴρ Ἀλκίβιος, καὶ ἐφίλει θήραν. περὶ δὲ τό τε Φαλάκρεον ὄρος, καὶ Κρύμην, καὶ Γράτσον, ἅπερ ἐστὶν ἄπεδα χωρία τῆς Τροίας, ὁ Ἀλκίβιος οὗτος ἐκυνηγέτει, φιλοχωρῶν ἐνταῦθα, ὡς [2] λέγουσι, καὶ λειμῶνα δείκνυσθαι τοῦ δουρίου ἵππου. κυνηγετοῦντος δ' οὖν αὐτοῦ, καὶ ἐπικελεύοντος τὴν λάκαιναν ἐλθεῖν κύνα κατ' αἰγὸς ἀγρίου, προσελθούσης ὀλίγον τῆς κυνὸς, καὶ κατὰ σίβον ἐρχομένης ἧς μετήει θήρας, οἷα δὴ γίγνεται ἡ λάκαινα, οὐ γὰρ δὴ μεθίει τῆς ἄγρας ἑαυτὴν, παίεται ὑπ' ἐχίδνης κατὰ τὸ [3] ῥαντῆρος, ὡς τοῦ τε ὀφθαλμοῦ μεταξὺ τυγχάνει, καὶ τῆς ῥινός. κλάγξασα μὲν οὖν ἥδε ἀποσείεται τοῦ θηρίου [4], προσδραμοῦσα δὲ βοτάνης [5] μασᾶται τῶν φύλλων [6], καὶ διασώζεται. Ἀλκίβιος δ' οὖν ἐπὶ τούτοις ἐλθὼν, καὶ γνοὺς ἅπερ [7] ἴδει γενόμενα, τῇ βοτάνῃ ἀφ' ἑαυτοῦ δίδωσι τὴν προσηγορίαν, καὶ [8] ἀγνοουμένην αὐτὴν θεραπείας χάριν εἰς μέσον [9] ἤγαγεν.



[1] διδοτε δε ται δε. [2] Deeſt ὡς. [3] τα τυ. [4] το θηριον. [5] βοτανη. [6] φυλλων της βοτανης. [7] ηδει. [8] οτι. [9] αυτοις εις μεσον.

Heic desinit Theriacorum Paraphrasis in Codice Mediceo : igitur quae sequuntur ex Vindobonensi supplevimus.

## ΚΡΟΤΩΝ.

Αλλα και φυτον εστι κροτων ουτω λεγομενον ο τον μεν καρπον ως ελεαν φερει. κικι δε ονομαζεσθαι προς των πολλων κρατι. τουτου δη ουν τον φλοιον χλωρον του κροτωνος, μελισσοφυλλου τε συν τοις φυλλοις ο και μελιλωτον λεγεται, αμ' ηλιοτροπιου της βοτανης κλωδοις. ετεον δη ηλιοτροπιον ταυτη τη βοτανη το ονομα οτι δη προς την του ηλιου τρεπεται δια παντος φοραν. και οιον ερωτα της ακτινος προς αυτην εκεινην την ακτινα τοις τη δε φυλλοις νενευκεν. καθαπερ και την ελεαν εμπαλιν θερους μεν τα φυλλα του χιμωνος εχειν. εμπαλιν δε τα του χειμωνος εν τω θερι σρεφειν. πεπισευται γε μην και την ριζαν της κοτυληδονος μαλισα ωφελειν τους
pag. 98. παιδας οποταν υπο χειμωνος ρηξις τινας υπομεινωσιν, η χειμεθλα επωδυνα την βοτανην αυτους τοτε διαφορειν ταυτην. ετι μην και της πυριτιδος τα φυλλα οποταν η χλωρα. και ην σκολοπενδριον προσαγορευουσι βοτανην. ο καυλος ο ταυτης ωφελιμωτατον. αθρει δη και ταυτην την βοτανην ης εστιν ευρετης ασκληπιος. ονομα δε επιλεγεται το ταυτης πανακες. εν γαρ δη τη χωρα τη φλεγυων πλησιον μελανος του ποταμου και παρα το χειλος διαγωνιζομενου του της αλκμηνης προς την υδραν παιδος παρων τιτρωσκεται. αμ' αυτω υπο της υδρας ο ιφικλος, και ο ασκληπιος αυτοθεν λαβων την βοτανην εταμυνει αυτω βεβλημενω και ουτως ιατται.

Εξω.

Εγω σοι που δη βοηθειν καθαπαξ θελοντι και τοδε ειδεναι, τα της γαλης δηπου σκυλακια η αυτην εκεινην την μητερα ην αγρευσας τυχης ως ετι νεαρα τυγχανει τας τριχας αφαιρου δια πυρος. ειτα καθηρας επιμελως το σωμα ταριχεια διδου. μετα δε ταυτα αυτο εν σκια ξηραινε και ανευ ηλιου φυλαττομενον οφθηναι μη ποτε της γαλης το σωμα υπο της ακτινος, αμεινον γαρ ουτως. Ου μην αλλ' εαν περ τινος θεραπειας εις χρειαν καταστης και καμνοντος αντιλαβεσθαι θελησειας αυτον ποτε πληξαντος ερπετου της ταριχευθεισης εκεινης και ψυγεισης γαλης αποξεσας τοσουτον εις οινον διδοθι τω δηχθεντι πιειν, οποσον αν τις αποξεσας τυρου η σιλφιου γονος [1] επιβαλοι ποτω. μακρω. γαρ αριστον τουτο και παντος.... pag. θερον [2] ικανον φυλαξαι κινδυνου. 100.

Ικανον δε επαλεξησαι και το της χελωνης αιμα. χελωνης δε νυν της θαλαττιας ου της αλλης λεγω. και αναριπισαι του κινδυνου ουπερ ιωθεν επιφερειν τω θνητογενει των ανθρωπων τα θανατηφορα των ερπετων κατα δη ουν ταυτα χρη πραττειν το ταυτης και λαμβανειν αιμα. την χελωνην το μεν πρωτον εκβαλλειν δει της θαλαττης εξω. επιτα τους θαλαττουργους αυτην εκβαλοντας επι της ηονος αναστραφοντας [3] μανθανειν οπου ποτε εχοι sic. την κεφαλην αυτη. χαλκεω δε ξιφι κεχρημενους κατα δη του λαιμου του ταυτης ωδε επαγειν την σφαγην. εγω δε το υποδεχομενον αγγιον το ταυτης αιμα κεραμεον κενον [4]. sic.



[1] Primas duas litteras vocis γονος ex coniectura ſupplevimus: nam propemodum evanuerant. [2] Vbi puncta illa appoſuimus, trium tantummodo litterarum veſtigia ſuperſunt, ſed ita evanida, ut eas minime adſequi potuerimus.

του τοινυν αιματος της χελωνης το μεν τι τουδε πηγνυται, το δε ου πηγνυται αλλα υδατωδες ευρισκεται. τουτου τοινυν το μεν υδατωδες ουκ εστι χρησιμον. το δε παγυ ει ξηρανθειη ως τεσσαρων ολκην δραχμων τη σκευασια προσβαλλειν δει. αγριου μετα κυμινου δραχμων δηπου δυο. πυτιας τε λαγωου δραχμης το ημισυ. μιγεντα γαρ ταυτα εις οινον ωφελι[1] διδομενα. και η ποσοτης του ςαθμου υπαρχετω δραχμη. και ταυτα μεν του προς τους υπο οφεων δηχθεντας ωφελιμωτατα.

[1] sic.

## ΦΑΛΑΓΓΙΟΝ.

pag. 102.

Ως δε και το των φαλαγγιων εστιν επιβλαβες γενος και το δηγμα αυτων ουχ οιον τε ειναι μη πονηρον ειδοτι σοι και ταυτα διεξελευσομε[2]. εστι δ' ουν ο φαλαγξ την χροιαν ποτε μεν ζοφωδης καθ εαυτον, ποτε δε ραγος την χροιαν ςαφυλης επανθουσαν φερει την γαςερα, εχων εν τω μεσω τους οδοντας αυτης πλησιον που και τραχεις της γαστρος προκειμενους φαινει επ αλληλοις μεν χρηται βαδιζων τοις ποσιν. το δε δηγμα αυτου οδυνην ου ποιει. ουδε ιχνος η πληγη δικνυσιν. του μεν τοι δηχθεντος υπο φαλαγγιου φοινισσονται μεν αι παρειαι. φριξ δε κατα παντος αυτου του σωματος χωρει. σπασμοι δε περι τα αιδοια συντονοι γιγνονται. και αιμα απουρει πολλακις. ναρκα τε επι τουτοις ισχει τα περι τα σκελη. και απο των ισχειων τουτο αρχεται το δεινον.

[2] sic.

## ΑΣΤΕΡΙΟΝ.

pag. 114. v. 11.

[3] Και μεν δη τον πληγεντα εις θανατον υπο της τρυγονος επισαμε σωζειν. επισταμε και δρακοντος εξαρπαζειν υπο τον τυπεντα δεως. αλλ ουκ εκεινου εν τη

[3] Vide supra pag. 315. in notis num. 5. & 6.

τὴν γὴ λεγω δρακοντος ἀλλα του ενυδρου. πληττουσι δε ενεχθεντων επιδρα τοις δικτυοις απαραφυλακτως τινες ποτε προσαψονται τοις ενυδροις. αιμανθειη μεν τ' αν και φυτον και φυλλων ερημον καταςαση, καν παυ ευβαλλη τρυγονος αυτου κατα του πρεμνου ενταγεντος κεντρου, υπο του ηλιου πιεζευσειεν αν τις αυτο γεγανεναι ξηρον ενορων τοις κλαδοις. τον αυταν δη τροπον και του τυπεντος σαρκες υπο της τρυγονος ουκ εις μακραν διαφθειρονται. εχι δε τις λογος ωδε και τον του λαερτου πλη- pag. γεντα τρυγονος υπο θαλαττιας κεντρω υπο πηλεγονου αποθανειν. 116.

## ΑΓΧΟΥΣΑ ΒΑΤΟΣ ΑΡΚΤΑΙΟΝ ΚΑΙ ΑΙ ΛΟΙΠΑΙ.

Καθεκτεον τοινυν ως οιον τε των προς ταυτα βοηθη- 1 lic.
ματων τουντευθεν λεκταιον 1 των δυσχερων. ειη δ' αν εχουσα η αγχουσα οικειως προς την των λεχθεντων βοηθειαν η τα φυλλα τοις φυλλοις της θριδακινης μιμουμενη, ει μετα της πενταφυλλου επιλεγομενης λαμβανοιτο, και του ερυθρου της βατου γιγνομενου καρπου, αρκτεον τε η βοτανη και οξαλλις, η δε και η το ορμενον φερουσα προς τουτοις λευκαιψος. πιχαμος τε εν αυταις και το οριδαλλον. και η χαμαιτιτυς της τε δρυος ο φλοιος αμα ταις ριζαις ει μαγειη. και κυκαλις ετι μην και σπερμα ομοιως σαφυλινου και καρπος τερμινθου χλωρος και φυκος αβροχον θαλαττιον και το αδιαντον καθαρον, τουτο δε εν ω μη υει συμβαλλοις καιρω, υοντος δε το αδιαντον απεχου συναγειν επι τοις φυλλοις ενιζανειν τουτο δε ο ομβρος πεφυκεν.

Αλλα γαρ τοι και το σμυρνιον ανθουν διηνεκως οικειως εχον ευροις αν εις την τουτων χρειαν και την αει θερε-

ρεσθαι υπο του ηλιου φλεγομενην ηριγγιου ριζαν. ετι μην και η χαχρυφορος λιβανωτις ωσαυτως ωφελε, και απαρινη συν ταις αλλαις και η κολυβατια και μηκων. Ομοιως η βοτανη και αλλη θυλακις λεγομενη και πεπαιτις αλλη βοηθειν ικαναι.

pag. 118.

Κλωνες τε δη κραδης αρτιφυεις ολοι ολυνθοι τε ερινεου οι πρωτης οπωρας πεπαινονται εισιν επωφελεις.

## ΠΕΠΕΡΙΤΙΣ ΚΡΑΔΗ ΠΥΡΑΚΑΝΘΟΣ.

Παραλιφθειη δ αν υπο σου εις ταυτα και η πυρακανθος ..... τ... δ..... [1] φλομου της βοτανης αιγιλοπος τε μετα τουτων και χελιδονιον. δαυκος τε ομοιως. ειτα προς ταισδε δη βρυωνιας ριζα η την τε εφιλειν [2] και τας λευκας τας απηχθημενας ταις γυναιξιν, οτι μην του καλλους παραιρουνται φυτεως ελαχεν απαλλαττειν.

[2] fic.

Περιστερεων δε τις κεκληται βοτανη και ραμνος ουτω φυτον τι προσαγορευεται τους κλαδους αμα τη δε βοτανη της ραμνου λαμβανε. αγαθη γαρ εσιν ου μονον αρηγειν τοις δηχθεισιν αλλα και παντοιας ασης σχεδον απαλλαττειν εστι ραμνος ανθρωπους ικανη. Ετι μην και η παρθενιος επιδαν εναυθειουσης αυτης τοις κλαδοις προσχρηση προσφορον γιγνεται εις το σωζειν. και ηχορον αλλη και μιλτος ετερα τις κεκληται βοτανη. φυεται δε εις πληθος η μιλτος παρα τοις βοιωτοις. και ονομα τηδε επιτεθικασι νηπενθης, οτι περιοραν ουχ οια τε εσιν ανθρωπους ολως κρατουμενους λυπη, αλλα υπεξαγει της μνη-

[1] Litterae sunt perforatae.

μνημης των δεινων εις ληθην ελκουσα κατα μικρον, επειτα την ψυχην εις το της ευφροσυνης χαγαγουσα εστησεν παραυτα χαιρουσαν χωριον. ο δε γε αγριος σικυος πικραν μεν την ριζαν τοις γευομενοις παρεχεται, τοις δε διαχωρουσαν μηδαμα εχουσι την γαστερα πανυ επωφελης. ὑπεκλυει γουν επιδοθεισα η ριζα και διακαθηρας τον κακοπαθουντα επι το κατα φυσιν αυτον παντελως ηγαγεν. και ο καρπος του παλιουρου αλλα του τρχχεῳ νεωστι ανθουντος συν αυτοις της ροιας τοις ανθεσιν και αυτοις τοις φυλλοις. ᾗ υστινος [1] η βοτανη υστωπον τε επι τουτοις και ονωνις παλιν. πολυκλωνῳ δε εστιν ικανως η ονωνις η δε και ... δεσθαι τους ... ων ..... υτ.. ν... το τουτου ποιει. pag. 120.

[1] sic.

## ΤΗΛΕΦΙΟΝ ΑΜΠΕΛΙΟΣ ΚΟΡΔΟΝ ΚΑΙ ΑΙ ΛΟΙΠΑΙ.

Εστω δη και φυλλα τηλεφιου και νεωστι πεφυτευμενης εν βοτρυσι η μεριδῳ κλημα σπερμα τε χοριου της αγρειας και ο κορδον και η τα φυλλα τα λεπτα εχουσα κονυζα και καρδαμον τε επι τουτοις περτικον πινε. πινων γαρ πιση φλυαρον ουδεν. εστι δε πεπερινου το φυτον αφ ου το πεπερι. τα φυλλα τουτου κοψας μετα παντων σωζε. γληχων δε η πλιστα τα ανθη φερουσα και σινηπι επι τε τουτοις και η στρυχνος ομοιως διασωζειν ικανα και ταυτα τους τρωθεντας εξι. αγε δη και το εν τοις κηποις αυθις γιγνομενον πρασον και σπερμα κνεδων νυν εγω της βοτανης λεγω, εκεινης αρα της βοτανης οι παιδες επειδαν παιζωσι κατ' αλληλων ερχομενοι σφας παιουσι τοις φυλλοις. και γελωτα δη το εντευθεν αυ-

[2] Vbi puncta appoſuimus, litterae ſunt perforatae.

αυτοι τε εχουσιν οι παιζοντες, και σφας τοις ορωσι παρεχουσι. οτι προσαψαμενης αυτοις οπωτουν οι παιδες της βοτανης ταυτης γελωντες ανιωνται δηθεν.

Και μεν τοι και λευκοτατη κεφαλη της κιλλης και των βολβων τα ξηρα και ης το ονομα δρακοντιας βοτανης καυλεια και ασπαραγος η φυεται πλησιον της ραμνου και αυτης της ραμνου ασπαραγος. ειτα και ο καρπος της πευκης ως εξιν ουτος νεαρος και συνεφαμμενος επεωρουμενος τοις κλαδοις.

## ΣΚΟΡΠΙΟΤΡΟΣ ΣΙΔΗ ΚΑΙ ΑΙ ΛΟΙΠΑΙ.

pag. 122. 1 sic. Τυγχανει μεν τοι της βοτανης και τω κεντρω παρεοικεν η ταυτης του σκορπιου ρειζα[1] η σκορπιου μεν υπο τους τρωβεντας ουκ εασιν εσθαι αλλα θεραπευει. καλουσι γε μην σκορπιουρον την βοτανην τηνδε οτι του θηριου τουτου τω κεντρω εοικε την ρειζαν.

Ετερα δε παλιν τυγχανει καυταυθα βοτανη και καλειται σιδη. ο καρπος ο ταυτης κοκκοι εισι υπαρχουσι δε ερυθροι. και γιγνεται η βοτανη η της βοιωτιας μεν εν ψαμαθη παρα δε ποταμον, προτερον μεν σχοινεον οι παλαι εκαλουν, σμηνον δε οι επιχωριοι μετα ταυτα αυτω ονομα εθετο. παρα τουτον φυεται πολλη τον σμηνον η σειδη μην και η ινοπος[2] αγει και ο χοαστης ποταμος αρωματα φερει. συν ταυταις μιγνυε κῆ πιστακιωνα κρεμνους, ταις σμικραις αμυγδαλαις ο των πιτακιων πως παρεοικε καρπος. καυκαλιδες τε και μυρτα και αρμινθος η βοτανη και μαραθον χλωρον. ετι μην τοιτδε παρεστω σοι και ερυσιμος βοτανη. και των

αγριων

[2] Inter η & ινοπος superscriptum est δων.

αγριων ερεβινθων ο καρπος βαλλεσθω συν αυτοις τοις κλαδοις. οδμην δε βαρειαν ο αγριος ουτος ερεβινθος εχει και εστιν επαχθης. σισσυμβριον τε δη και τουτο επιδαν [1] εν τη ωρα του ανθους γενηται. ωφελιμωτατον γαρ τοις τρωθισιν καθιστασθαι λειαν. αταρ ουν δη και το μελιλωτον εξ υπογυου συνκομισθεν. και η οιναυθη δε του ανθειν επειδαν και η δε εντος η του της ωρας ανθος. βοτανη δε εστιν η οιναυθη και φιλειται υπο των αιπολων οτι τους αιγας ος [2] οιμαι πιαινειν ικανη εις τροφην. παραβαλλομενη τοις κτηνεσι τουτοις η αιναυθη αυτη λυχνις τε αμ αυταις, και θρυαλλις βοτανη δε..... φω [3]. ροδον τε δη και την τον πλειστον κ...., δη καρπον κομιζουσαν ην ονομα..... λευκοϊον μεν λεγω υπο σου γιγνεσθω. αλλα γαρ ταττεσθω προς ταις ουσαις και η λεγομενη ψιλωθρον παρ ενιων ποα. και η το ονομα υακινθος ετεθη βοτανη ανθουσα τοις εν τη χρεια τη τουτων τυγχανει προσφερης. φιλοθρηνης δε υπ ενιων η αυτη λεγεται. και τινος ενεκα λεγεται ηδε η αιτια βοα.

[1] sic.

[2] sic.

pag. 124.

Οτι υακινθον ο απολλων παιζοντα παρα τον ευρωταν δικτυω απεκτεινεν. αλλα ουχ εχω νυ τον τοι γαρ συν θρηνειται υπ εκεινου πολλα και φιλοθρηνης προς των πολλων ως ο λογος λεγει εξ εκεινου τη βοτανη τουνομα ετεθη.

## ΤΡΙΦΥΛΛΟΝ ΟΠΙΟΝ ΕΡΥΓΓΑΛΟΣ ΚΑΙ ΑΙ ΛΟΙΠΑΙ.

Αγε δη μετα των λεχθεντων τιθει και το καλουμενον τριφυλλον και τον του οπιου χυλον, ο σταθμος



[3] Aliquot heic litterae cum pergameni particula ablatae, ut et paullo poſt.

τρις οβολους ελκων υπαρχετω του οπιου τουτου. και τον εοικοτα τω κροκω ερπυλλον ομοιως και κρηθμον και χαμεκυπαριστον [1] αμα αννησω και σιλφιου ριζη τριβον εις ποτον τοις δηχθεισιν διδου. διδου δε ποτε μεν αυτα μετ αλληλων μιγνυς. ποτε δε εκαστον και καθ αυτο πινειν.

[1] sic.

Και αλλοτε μεν μεθ υδατος, αλλοτε συν οινω, ποτε δε συν οξει, ἡ αλλοτε παλιν συν γαλακτι. οπως γαρ αν ἡ μεθ ουτινοσουν τουτων ο λαμβανων εσται εξει το ασφαλες.

Οδοιπορουντι δε η θηρωντι η εν ορι διατριβοντι σοι που και η εν ερημειαις η αλλως εν ανυδροις ευρεθεντι τοποις ην τυχη τι των θηρειων τουτων προσψαυσαν νυγματι, τας παρατυχουσας δικμασω [2] λαμβανων βοτανας. pag. 126. ειτα τον μεν χυλον αποπτυε, τα δε μασηθεντα επιτιθει δη και κατα του τοπου το θηριον ηνεγκεν ενταυθοι την πληγην.

[2] Olim tamen legebatur διασω. Syllaba μα addita eſt ſupra ſequiori aevo.

Παυλα τε γαρ το απο τουτου σοι των οδυνων εσαι. και παντελης καταληψεται σε των λυμαινομενων απ αλλα.

## ΑΡΙΣΤΟΛΟΧΙΑ ΙΡΙΣ ΝΑΡΔΟΣ ΚΑΙ ΑΙ ΛΟΙΠΑΙ.

Αποφυγοι δ αν και ουτως εστις συν υπο θηριου πληγεις και θεραπευθειη, ει ταις υπο των ιατρων λεγομεναις σικυαις ταις χαλκαις χρησαιτο. ειτα αθροισας δικ τουτων το αιμα κενωσης το δεινον. και μεν τοι ἡ τω της συκης η περσεως οπω χρωμενος επι του πληγματος μεγαλα ονησεις τουτω καταχριων αυτο και σιδηρον πεπυρωμενον επιτιθεις κατα του νυγματος. και ασκου αιγιου πεπισσωμενου ποδεων το σφυρον οποταν

η την

η την χειρα αλλοτι μερος η κνεισθεν υπο του θηριου περιδεσμων τουτω παντως απαλλαξει της ανειας. εξ οινηρου τυγχανετω ο ποδεων ασκου. και ο δεσμος γενεσθω πρωτερον του ασκου γιγνεσθω τηνικαυτα δεσμος του τρωθεντος αερους εκμυζηθειη δ' αν το δεινον καυτηθαι υπο βδελλων ει προστεθειεν αυται γε τω τυπεντι τουτω. ωφελησειε δ' αν και χυμος κρομιου και αιγων ομοιως τον τρωθεντα τα περιττωματα. επιχρεισθεις μεν δη αρα ο χυμος τω ελκει, τα περιττωματα δε μετ' οινου τρυγιας φυρασθεντα η οξους και επιπλασθεντα. ινα δη πασης αμυντικον γ' ασης μαθων προς ταυτα κατασκευασης βοηθημα. λαμβανων βοτανας ειτα μιγνυς προσαγης ταις ελκεσι αναιρου αρισολοχειαν και την ιριν. pag. 128. επι δε ταυταις και την νάρδον. εστι γαρ βοτανη νάρδος ουτω καλουμενη. χαλβανης τε δη ριζας και πυραιθρον ξηρον δαυκον τε ωσαυτως και βρυωνιαν. επι ταυταις γλυκυσιδην τε την βοτανην και ελλεβορον τοι τον μελανα, και τουτον επιδαν [1] κατασταιη ξηρος. το τε αφρονιτρον κ' κυμινον κονυζαν τε δη και την ονομαζομενην αγριοσταφιδα και δαφνης ετι μην τον καρπον και ης το ονομα βοτανης κυτισσος, και ταυτην μιγνυε συν εκειναις βαλλων. ιπολιχην δε λεγεται τις ουτω βοτανη. και η κλησις των ιππων οτι τους λιχηνας ηδε θεραπευειν δοκει. το δ' ουν μεγεθος εσιν αυτης ουχ οια πολυ της γης υπερεχειν ανω και ου λια [2] μιον ετερα. μετ εκεινων αρα και ταυταις κεχρησο. ειτα και μηκωνος οπον και αγνου μην σπερμα βαλσαμον τε δη και το καλουμενον κινάμωμον κ' καρδαμωμον αμα αλοι οξυβαφον. οι αλες εστωσαν εις μετρια οι εμβαλλομενοι ταις βοταναις. προς τουτοις κ' λαγου-

[1] sic.

[2] sic.

τυτια [1] και ο ποταμιος και καρκινος εμβαλλομενα εις ολ-
μον ταυτα συνκοπτεσθω [2] παντα κ̓ μιγνυσθω καλως. υπε-
ρον δε εστω λαϊνον ωδε κοπτεσθαι τας βοτανας. τω τε
χυλω της απαρινης εις κυκλων μεγεθος δραχμιαιων ανα-
λαμβανεσθαι. ο δε ςαθμος ωσαυτως τουτων τυγχανετω
δραχμης. η μεν τοι χρεια διδασκετω το μετρον οσον
εφ εκαςω της δοσεως προσηκει τυγχανειν. πινειν δε δει
τουτο και ταυτα εις οινον. καθ' εκαςον δε εκλυειν δει
των τροχισκων αρα οινου εις κοτυλας των χρωμενων δυο.
επη δε ταυτα των ομηρου νικανδρου του κολοφωνιου
εν τω της μνημης αποτεθηναι παρα σοι χωριω μη χει-
ρον εχον τα δευρο νομισθειη ποτε ω ερμησιαναξ.

[1] sic.
[2] sic.

## ΠΑΡΑΦΡΑΣΙΣ ΕΥΤΕΚΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΚ ΤΩΝ ΝΙΚΑΝΔΡΟΥ ΘΗΡΙΑΚΩΝ.

### ΤΩΝ ΔΕ ΑΝΤΙΦΑΡΜΑΚΩΝ ΤΑΔΕ ΕΝΕΣΤΙΝ.


Περὶ ἀκονίτου.
Περὶ δορυκνίου.
Περὶ ψιμιθίου.
Περὶ φαρικοῦ.
Περὶ κανθάριδος.
Περὶ ὑοσκυάμου.
Περὶ κορίου.
Περὶ λαγωοῦ θαλασσίου.
Περὶ τοξικοῦ.
Περὶ ἰξίας.
Περὶ ψιμιθίου.
Περὶ ὑοσκυάμου.
Περὶ κωνίου.
Περὶ μύκητος.
Περὶ φρύνου.
Περὶ σμύλου.
Περὶ φαρικοῦ.
Περὶ κορίου.
Περὶ βδέλλης.
Περὶ κολχικοῦ.
Περὶ ταυρείου αἵματος.
Περὶ γάλακτος.
Περὶ σαλαμάνδρας.
Περὶ λιθαργύρου.
Περὶ μήκωνος [1].


ΑΛΕ-

[1] Vindobonenſis Codex paucioribus titulis hunc capitum elenchum comprehendit; poſt octavum enim reliqui ita habent: Περι κωνιου. Περι βδελλης. Περι μυκητος. Περι κολχικου. Περι σαλαμανδρας. Περι ιξιας. Περι φρυνου. Περι ταυριου αιματος. Περι λιθαργυρου. Περι βουπρηςιως. Περι σμιλου. Περι γαλακτος. Περι μηκωνος.

## ΑΛΕΞΙΦΑΡΜΑΚΑ.

pag. 178. Εἰ καὶ μὴ τῆς αὐτῆς εἶναι πόλεως, μηδ' ἔθνους, ὦ Πρωταγόρα, τοῦ αὐτοῦ διεκλήρωθημεν, οἴκου τε δὴ καὶ συγγενείας οὐδαμᾶ, καθάπερ ἄλλοις ἔξεστι τῶν τ' αὐτῶν ἀπολαύειν ἡμῖν. οὐ γὰρ δή ἐσί τις ὀλίγη κατὰ τὴν Ἀσίαν ἢ τὰς πατρίδας ἡμῶν κομιδῇ διειργουσα χώρα. οἷον [1] οἴκου τέ σοι καὶ πατρίδος ἦν τῆς αὐτῆς μετεσχηκὼς ἐγὼ περὶ τῶν βοηθημάτων τῶν [2] φαρμασσομένων τοῖς ἀνθρώποις εἰς ἐπικουρίαν παρὰ τῆς φύσεως ἐξήυρηται, οὐδὲ ὑποχειρίους συγχωρεῖ τῷ θανάτῳ τις [3] γνοὺς ὁπωσοῦν λανθάνειν, διεξελεύσεσθαί εἰμί σοι [4] πάσης σαφῶς προθυμίας ἐντός. Οὐκοῦν οἰκεῖα μὲν τὰ σὰ ταῦτα, καὶ ἐν οἷς δίαιτα κατὰ τὸ μεσαίτατον τῆς Ἄρκτου κείμενα τυγχάνει. ἀπέχει δὲ ἐν οἷς ταῦτα οὐ πολὺ θαλάσσης, ἀλλ' ἔσι πλησίον, καὶ τὰ τῆς Ῥέας ὄργια παρὰ τούτοις μένει, ὅτε τοῦ Ἄττεω γάμος καὶ τὰ ἐπὶ τούτοις ὅσα παρά σφι τελεῖται. τὸ δὲ ἐμὸν οἰκητήριον ἡ πόλις Κολοφὼν τυγχάνει. Ἀπόλλωνος δέ ἐσιν ἄρα παρ' αὐτὴν ἱερὸν Κλαρίου, καὶ τὸ ὄνομα Κλάρου ἐτέθη τούτῳ τῷ μαντείῳ, ὅτι δὲ ὁ χῶρος οὗτος, κλῆρος ἐγένετο τῶν Κρεσύτης παίδων Ῥαχίου καὶ Κλάρου, οἱ περὶ τούτων ἡμᾶς σαφέσατα διαγγέλλοντες διδάσκουσι λόγοι.

## ΠΕΡΙ ΑΚΟΝΙΤΟΥ [5].

pag. 180. Ἐπιγνώτη [6] δὲ τὴν βοτάνην αὐτίκα δὴ μάλα προσενεχθεῖσαν τῷ στόματι τὴν ἀκόνιτον οὕτως ὀνομαζομένην. πικρά τε γάρ ἐστιν ἱκανῶς, καὶ κίνδυνον οὐ τὸν [7] τυχόντα ἐπάγει, ἤν τινι δῷς πιεῖν. παρὰ μέν τοι τὸν Ἀ-

χέ-

[1] οιον αν ειπερ. [2] ων. [3] τι. [4] ημισυ. [5] ΑΚΟΝΙΤΟΝ. [6] ιπιγνωσει. [7] Deeſt τὸν.

χέροντα αὐτὴ φύεται ποταμὸν, αὐτόθι δήπου καὶ πλησίον κατὰ τοῦ χάσματος, ὅθεν πέρ φασι τὰς ψυχὰς διαπορθμεύειν τὸν θάνατον, καὶ ὁ θεσμὸς τὴν ὑπειστελθοῦσαν καθάπαξ τὸ ϛόμιον λέγει πάλιν χωρεῖν μηδέν. δείκνυνται δέ γε παρὰ ταῦτα καὶ αἱ τοῦ Λύκου παιδὸς Περιολάου πόλεις ὡς εἰσιν ἔρημοι, καὶ οἶκοι, παρ' οὓς ἀκόνιτος ἡ βοτάνη ἐνταῦθα φυομένη ἐϛίν. δῆσαι δὲ κανὴ τὰ χαλινὰ, τό τε πᾶν στόμα γίγνεται ὁμοίως ἥδε τοῦ πιεῖν λαχόντος. στύψις τε τὰ οὖλα καρτερὰ πρὸς τούτοις ϰ᾽ ἅμα τῇ γλώττῃ τὸν οὐρανὸν σφοδρῶς ἐμπεσοῦσα λυπεῖ. ἐπειδὰν δὲ καὶ τῶν ἐντὸς τοῦ στήθους τὸ δεινὸν ἅψηται, τὸ μὲν πρῶτον λυγμὸν ποιεῖ, καὶ ἀμηχανίαν, εἰς τὸ ἀλύειν τε αὖ καὶ ἀδημονεῖν οὐχ ἁπλῶς ἄγει τὸν πάσχοντα, ὅ τε δὴ στόμαχος ὀδυνᾶται, καὶ μάλιστα δὴ ἔνθα εἰσὶν αἱ τούτου λεγόμεναι παρὰ πάντων πύλαι. ἀλλὰ μὴν καὶ τὸ λοιπὸν ὅθεν περ δίεισιν ἡ τροφὴ, ἄκλειστον ὡς φησι χωρίον διὰ παντὸς μένον, τῶν πόνων ἐπιτριβόντων αὐτὸ, ϰ᾽ τῶν ἀλγηδόνων τῇ [1] γαϛρὶ τὴν ἄτην [2], ϰ᾽ τῷ κάτω παρέχειν ἑντέρῳ φλεγμονὴν πέφυκεν. τινὲς τοῦτο κῶλον προσαγορεύουσι τὸ ἔντερον. ἀρχὴ δέ ἐϛι μὲν τοῦτο τῶν κάτω τοῦ ἀνθρώπου μερῶν. ἔχει δὲ ὁμοίως καὶ τοῦτο πύλας τὸ μόριον. ἀρχὴ μέν τοι τῆς δοχαίης ταύτης, καὶ γὰρ οὕτως οἶμαι τόδε ὀνομαζόμενον ἐπίϛασθαι, ὁ στόμαχός ἐϛιν, ὅτι δέ γέ ἐϛι καθάπαξ ἥδε δεκτικὴ σιτίων καὶ παρὰ ταύτην φέρεται τὰ ἐσθιόμενα, αὐτὴ τοῦ ὀνόματος ἡ κλῆσις μαρτυρεῖ. ἀλλὰ γὰρ ἑπακολουθεῖ τῆς ἀκονίτου τοῖς πιοῦσιν, ἀπὸ μὲν τῶν ὀφθαλμῶν φέρεσθαι καὶ ἀποϛάζειν ὑγρὸν πλῆθος αὐ-

[1] αυτη τε. [2] ασην.

αὐτῶν πολὺ, ῥέεσθαι δὲ καὶ τὴν γαστέρα, πνευμάτων τε ἐν αὐτῇ γίγνεσθαι διαδρομὰς συχνὰς, ἃ καὶ στηρίξαντα πολλάκις περὶ τὸν ὀμφαλὸν αὐτὸν, ἀσχέτους τοὺς ὀδύνας πέφυκεν ἐμποιεῖν. βαρύτης τε δεινὴ τῆς κεφαλῆς ἐπὶ τούτοις, καὶ τῶν κροτάφων παλμὸς ἀνύποιστος κρατεῖ, ὁρᾶν τε οἱ τῶν τοιούτων ὀφθαλμοὶ δοκοῦσιν οὐ κατὰ τὰ αὐτὰ, οὐδ' εἴπερ [1] προσήκει τοῖς ὁρῶσιν, ἀλλ' ἐνηλλαγμένως. τὸ γοῦν αὐτὸ καθ' αὐτὸ πολλαπλοῦν νομίζει, καὶ τὰ δύο ὁρῶν οἴεται τέσσαρα, ὥσπερ ἂν ἔξοινός τις pag. οὗτος ὤν, καὶ κραιπαλῶν τύχῃ. οἷα μὲν λέγουσι τοὺς 182. τῷ Διονύσῳ στρατεύοντας τοὺς Σιληνοὺς δῆτα ἐπιτελεῖν τρυγῶντας καὶ ἐμφορουμένους οἴνου, καὶ ὑπαφρίζοντας, ἔπειτα διαλυομένους οἷον καὶ λιγυζομένους τὸν αὐχένα, καὶ παρασυρομένους τὴν φωνὴν, μεθυσθέντας τε αὐτοὺς, ὑπόθερμον βλέπειν, καὶ κεῖσθαι οὐκ ἐν κόσμῳ ἐπὶ τῷ ἐδάφους ὄντας τῶν φρενῶν ἔρημον [2]. τοιαῦτα ἄττα καταλαμβάνεσθαι ποιοῦντας τοὺς τῇ βλάβῃ περιτυχόντας εὕροις ἂν τῇ τοῦ ἀκονίτου. λέγεται δ' οὖν ἡ αὐτὴ καὶ μυοκτόνος [3] ἡ βοτάνη. διότι δὲ λέγεται καὶ τοῦτο, ἡ αἰτία δηλοῖ, ὅτι τοὺς ἀχρειοτάτους ἀναιρεῖν δοκεῖ καὶ λίχνους καὶ δυσεργοὺς μύας, ἢν αὐτῆς γεύσωνται. ἀλλὰ μὲν δὴ καὶ παρδάλη, ἀγχέσῃ δὲ παρ ἐνίων προσαγορεύεται, ἐπεί τοι καὶ ταύτῃ τῇ βοτάνῃ πρὸς ἀναίρεσιν τῶν θηρίων οἵ τ' ἂν αἰπόλοι καὶ ποιμένες καὶ νομεῖς [4] τῶν βοῶν ἔν τε τῇ Φαλάκρᾳ καὶ τ' Ἴδῃ τοῖς ὄρεσιν κεχρῆσθαι δοκοῦσιν. ἄλλως τε δὴ καὶ παντὸς θήλεος, καὶ δὲ ἐντεθεῖσα μορίῳ ζώου ἀποθνήσκειν ποιεῖ ἡ βοτάνη αὕτη, ἧς ἐστι τοὔνομα ἀκόνιτον.

τὸν

[1] ηπερ. [2] ερημους. [3] μυοκτονον. [4] νομης.

τὸν τοίνυν ἀντίδοτος [1] πυνήρως ποτὲ ἐκ ταύτης ἔχοντα ἰάσῃ μεστὴ κονίας μὲν ποιήσας μέτρῳ τὴν σεαυτοῦ χεῖρα ὡς οἷόν τε [2] δέ γε μάλιστα κατηλιωθείσης κοτύλῃ οἴνου, καὶ ταῦτα μέλανος ἐπίμεστος [3], εἶσω τὴν χεῖρα τῆς κονίας ταύτης ἐπιβαλεῖν [4] σε χρὴ, ἀβροτόνου τε δὴ καυλία ἐν θάμνοις ἐπιτυγχανούσης, πρασίου τε ὁμοίως τῆς καὶ μελιφύλλου καλουμένης, ἀλλὰ [5] καὶ τῆς ἀγήρω καὶ ἀειθαλοῦς [6] χαμελαίας βλαστοὺς, καὶ πήγανον σὺν [7] πᾶσι τούτοις κομίζων ἔμβαλε. αὐτὰρ οὖν δὴ διάπυρον πάνυ σφόδρα ἐμβαλὼν μέλιτι σβέννυε σίδηρον, καὶ τὴν ἐν ταῖς καμίνοις τῶν σιδηρέων γιγνομένην τρύγα, ἣ σκωρία κέκληται, φέρων δὴ σὺν τούτοις, καὶ ταύτῃ [8] μίγνυε χρυσόν τε αὖ πεπυρωμένον ἄργυρον [9] ἀφρόδ .... [10] τῷ πυρὶ καὶ τοῦτον προσαμιλληκότα ἐμβαλὼν σβέννυε τῷ μέλιτι, εἶτα δὴ τὴν χεῖρα εἰς ἥμισυ τῶν φύλλων ποιήσας τῆς συκῆς, χαμαιπιτύος τε τῆς ὀρίας, καὶ ταύτης τὰ φύλλα αὐανθείσης μέν τοι, τῆς τ' αὐονίτιδος ὁμοίως, καὶ πολυκνήμου τῆς βοτάνης τοὺς κλῶνας, εἰσὶ νεαροὶ, τετράδι κυάθων οἴνου γλυκέος ἀνειρῶ. ἄγε δὲ καὶ καθεψηθείσης πάνυ σφόδρα σχεδὸν, ταχὺ διαλυομένης ὑπὸ πυρὸς τὸ ὕδωρ ὄρνιθος τῶν ἐν ποσὶ δήπου καὶ ἐν ταῖς οἰκίαις ἀναστρεφομένων, ἤτοι νεττῶν γε ὧν τρέφουσιν αὗται, ἐψηθέντων καὶ τούτων

pag. 184.

τῶν

[1] Deest ἀντίδοτος in contextu Vindobon., ſcriptum tamen eſt in marg. a recenti manu. [2] οσονται. [3] επιμεστος μετρον. υπαρχετω. [4] επιβαλλειν, & ſic infra ter cum duplici λλ. [5] αλλα μην. [6] ειθαλλους. [7] συμ. [8] ταυτην. [9] και αργυρον. [10] In Vindob. σφοδρα. In Mediceo vero per quasdam ſiglas effertur, unde praeter dictas litteras nil aliud valeas exſculpere.

των τὸ ὕδωρ κιρνῶντα δεῖ πίνειν μετὰ τοῦ μέλιτος. ἀλλὰ μὴν καὶ τῶν βοΐων καθεψηθέντων [1] κρεῶν, αὐτῇ πιμελῇ τὸ ὕδωρ ἄδην πινόμενον τοῖς ἄλλοις ὁμοίως ὠφελεῖ.

Δύναται δὲ δὴ ταῦτα καὶ μιγὲν βάλσαμον γάλα- pag.
κτι, νῦν μέν τοι τετοκυίας πώλου ὑπαρχέτω γάλα. ἀλλ' 186.
ἢν τις αὐτῷ [2] πιεῖν μὴ παραιτήσηται, ὀνίνησι σφόδρα. δεῖ δὲ καὶ ὕδατος ἐπιπίνειν εἰς τοσοῦτον τούτοις, εἰς ὅσον ἂν πᾶσαν ἀπεμέσας τις τὴν τροφὴν, τὸ δεινὸν δυνηθῇ διαφυγεῖν. ἀλλὰ γὰρ καὶ ἡ πιτύα πρὸς τούτοις χρήσιμα [3] τοῦ λαγωοῦ, καὶ μετὰ [4] ταύτην ἡ τοῦ νεβροῦ, ἀμφότεραι μέν τοι φυραθεῖσαι οἴνῳ, ἑκατέρα ᾗ καθ' αὐτὴν ὑπάρχει χρήσιμος. ἀλλ' οὖν καὶ ἡ ῥίζα τῆς μορέας πρότερον ἐν ὅλμῳ συμτριβεῖσα, εἶτα ἐψηθεῖσα ἐφ' ὅσον οἷόν τε μετ' οἴνου δίδοσθαι, μέλιτος προσπλακέντος αὐτῇ, τοῖς πάσχουσιν ὠφελεῖ. ὅπως γὰρ ἂν δόξῃ τις οὖν ὑπὸ τοῦ δεινοῦ κεκρατῆσθαι, χρησάμενος τοῖσδε δὴ τοῖς βοηθήμασι τὸ [5] ἀσφαλὲς ἕξει, ᾗ σῶος ἀπελεύσεται χρώμενος οἷσδε τοῖς ἑαυτοῦ ποσίν.

## ΠΕΡΙ ΨΙΜΙΘΙΟΥ.

Μεταταῦτα τοίνυν λέγεσθαι χρὴ καὶ περὶ ἧς ἐνπομόργνυται τὸ ψιμίθιον τοῖς ἀνθρώποις πινόμενον βλάβης. λωβᾶται γὰρ αὐτῶν τὴν ὑγιείαν, καὶ τοῦ βαδίζειν ἄρα αὐτοὺς ἐμποδὼν ἵστασι. ἔοικε δὲ δή που τὴν [6] χροιὰν ἐν ὥρᾳ ἔαρος φαινομένῳ γάλακτι τὸ ψιμίθιον δὲ [7] τοῦτο καὶ ἐπαφρίζοντι, ὁπόταν ἡ κατὰ ἄλλας ἐν τῇδε δείκνυται τῇ ὥρᾳ τροφιμώτερόν τε ὄνομα



[1] καταιψηθεντων. [2] αυτο. [3] χρησιμος. [4] μετα τοι. [5] αρχ το. [6] την γουν. [7] δη.

καὶ διαυγέστερον ἑαυτοῦ [1]. τοῦτο δὴ τὸ ψιμίθιόν ἐστι προσφερὲς τὸ εἶδος. ἀλλ' οὖν ἐνταῦθα τοῦ πιόντος τὸ μὲν πρῶτον ῥυποῦται τὰ οὖλα, ὀπὸς δέ τις κατὰ τῶν γενύων οἷον συνίσταται, πολὺς ἐπὶ τούτοις ἀφρὸς ἐπιπεπλασμένος. ὥσπερ οὖν καὶ οὗτος δακνώδης κατ' αὐτῶν ὁρᾶται τῶν στομίων, ἥ τε γλῶττα ὑποφλεγομένη ξηρὰ καθίσταται, καὶ τὸ φθέγμα πρόεισι τετριγὸς καὶ βα-
pag. 188. ρύ. τά τε λεγόμενα παρίσθμια αὐαινόμενα καταπολὺ τοῦ κατὰ φύσιν ἐνεργεῖν εἰς λήθην ἔρχεται, βήξ τε ἐπιγιγνομενη [2] καρτερὰ, καὶ οὔτε ἠρεμεῖν συγχωροῦσα τῷ κακοπαθοῦντι διὰ τὴν κατὰ τοῦ στήθους στηριχθεῖσαν ἐκ τῆς βηχὸς ὀδύνην ἄσχετον, οὔτε ἀναφορὰν τοῦ φλέγματος λεπτοτάτου λίαν καὶ σχεδὸν ἀποίου τυγχάνοντος ῥᾳδίαν συγχωρούσης γίγνεσθαι ἐπίτασιν πότου [3] ἐμεῖν μὲν δοκεῖν ταλαιπωρίαν, μηδὲν δὲ καὶ κακοπάθειαν τῶν ἀνθρώπων [4] ἄγειν. Ἄγει [5] οὖν ἐπ' αὐτοῖς τὸ φάρμακον καὶ τοῦτο πρὸς ὕπνον, καὶ ἀποψύχεται ὁ μετασχῶν αὐτοῦ, καὶ τὰ μέλη τοῦ κινεῖσθαι ὥσπερ τὸ πρότερον ἐκ τοῦ κατὰ φύσιν ἀφαιρεῖται, καὶ τὸ ἐντεῦθεν ὁ θάνατος τὸν κάμνοντα ἄγει. Παραχρῆμα τοίνυν τῷ βληθέντι τῇ ἀπὸ τοῦ ψιμιθίου ἐπιβουλῇ ἐνταῦθ' ἀεί τις ἐπιπίνειν ἔλαιον διδότω. τὸ δὲ ἔλαιον ἐξ ὀρχάδος, ἢ πρημαδίας ἐλαίας ὑπαρχέτω [6]. εἰς τοσοῦτον μέν τοι πινέτω τὸ ἔλαιον οὗτος, ἐς ὅσον [7] ἡ γαστὴρ ὑπομείνασα, ἐξελάσαι τῶν ἐντέρων τὸ συστραφὲν δυνήσεται κακόν. ναὶ μὴν καὶ γάλακτος ἡ πόσις, ἀλ-

[1] Inter verba ἑαυτοῦ & τοῦτο, haec alia leguntur: καὶ εν τω αγγει ετι περ... ενω αν ο βδαλλων αυτο εκ του παραχρημα δεξαμενος. [2] επιγενομενη. [3] επι την απο του. & quidem melius. [4] τον ανθρωπον. [5] αγει δ' ουν κ. λ. [6] υπαρχετω τουτο. [7] οσον ολισθον.

ἀλλὰ τοῦ προσφάτου, πρὸς τόδε ὠφελεῖν [1]. ἡ γὰρ δὴ τοῦ παλαιοτέρου ἐςὶν, οἶμαι, λαμπρῶς ἀφελής [2]. καὶ τὸν χυλὸν ναὶ μὴν τῆς μαλάχης παρεγγύα πίνειν ὡς πλεῖςον τοῖς φλαύρως ἔχουσι, καὶ κατειλημμένοις ὑπὸ τούτου ἀκέτεις [3] ἅμα κατακόψας καὶ λιήνας, αὐτὰ δίδοθι μετ' οἴνου. καὶ γὰρ πινόμενα τυγχάνει λυσιτελέςατα πρὸς ὑγιείαν.

Ἀλλὰ μὴν καὶ ἡ τῶν κλημάτων τῆς ἀμπέλου τέφρα ἐςὶν ἐπωφελὴς θερμῷ μὲν ὕδατι ποθεῖσα [4], διυλιθεῖσα [5] δὲ ἐπιμελῶς ὡς ὅτι μάλιστα. καλαθίσκος δὲ ὑπαρχέτω, ὁ ταύτην διηθῶν τὴν τέφραν καὶ ἀποκαθαίρων, ἤ τις ἰθμὸς τυχὼν, ὅς τις ἐπισχεῖν τὴν ὕλην τὴν ἀπὸ ταύτης δυνήσεται, καί σφι μετ' ἐλαίου τὴν ἰλὺν συναναμιγνύων κέχρησο πρὸς τὰ προκείμενα. ῥύεται τοῦ κακοῦ τούτου καὶ ὁ ξηρὸς δὴ τοῦ τῆς περσέας [6] καρπὸς, περσέας [7] ἐκείνης, ἣν καὶ [8] ὁ Περσεὺς ἐξ Αἰθιοπίας μετὰ τὸ τὴν τῆς Μεδούσης ἐκτεμεῖν κεφαλὴν τῇ χρυσῇ ἅρπῃ χρησάμενος ἤγαγεν εἰς Μυκήνας, καὶ κατεφύτευσε Κηφέως δωρησαμένου, ὃς τότε βασιλεὺς ὢν [9] Αἰθιόπων ἐτύγχανε τῷ Περσεῖ τὸ φυτόν. πλησίον τοίνυν ἐστὶ τῶν Μυκηνῶν ὄρος, ὃ καλοῦσιν οἱ ἐπιχώριοι Μέλανθον, καὶ κρήνη ἐν αὐταῖς Μυκήναις. ἀλλὰ καὶ ταύτην τοι Λαγγίαν ἐπονομάζουσι τὴν πηγήν, ἔνθα δὴ καὶ τὸ τῆς βήβης [10] ἄκρον [11] μύκην καλοῦσιν, αὐτὸς ἧς ἔφερεν ἅρπης ὁ Περσεὺς, ἐκπεσεῖν λέγεται, γενέσθαι μέν τοι λέγου- pag. 190.



[1] ωφιλειν. [2] ωφιλης. [3] εικεσεις. [4] πλυθεισα. [5] διητθεισα. [6] περσιας. [7] περσειας. [8] abeſt καὶ. [9] των. [10] θηκης. [11] Poſtremis litteris huius vocis adſcriptum eſt ον, ut legi poſſit etiam ἄκρονον, quae Vindobonenſis etiam eſt lectio.

σι τὸ κατατρετὸν μύκην, παῖς τε τῆς δαυκής πρὸς τροφὴν μέλλοντος. ὠφελήσειε δ' ἂν τὸ [1] τοιοῦτον καὶ τοῦ ἐν Γέρρῃ τῇ Ἀράβων χώρᾳ γεωργουμένου λιβανωτοῦ ἐπιπασθέντος δηλαδὴ ὀπτηθείσῃ τροφῇ, καὶ δοθείσῃ ταχύ. ναὶ μὴν ἀλλὰ καὶ δάκρυον καρύκης τοῦ φυτοῦ, καὶ μέν τοι καὶ τοῦ ἀταλύμνου [2], οὕτω δὴ τοῦτο τὸ φυτὸν ἀτάλυμνον προσαγορεύεται, ἀτὰρ δὴ καὶ τὸ τῆς πτελέας ἐπιβάλλον [3] ὑγρὸν, ὃ δὴ καταῤῥεόντων ὀχέων αὐτῆς οὐκ ἔστι χαλεπὸν θεάσασθαι, ἐπιφέρων ταῦτα τῷ κάμνοντι πίνειν ἐπίτρεπε. ἐμῶν γὰρ οὗτος ἀπὸ μὲν ἐνίων τῶν τοιούτων, ἀπὸ δὲ τούτοις ἐψητοῖς ἐντυγχάνειν ὑδατίοις καὶ πίνειν ἔξει διαφορούμενος τὸ ἀσφα-
pag. λὲς, καὶ ἄλλοτε μὲν ἐσθίων καὶ ἰδρῶν, ἄλλοτε δὲ
193. πίνων, τὸν [4] δυσώνυμον ἂν οὕτω [4] καὶ ἄδοξον διαφύγοι [5] ῥᾳδίως θάνατον.

## ΠΕΡΙ ΚΑΝΘΑΡΙΔΟΣ [6].

Κάνθαρίς ἐστι σιτοφάγος, καὶ τὸ ὄνομα αὐτῇ ἐπίκειται ἀπὸ τοῦ πράγματος. ὄδωδε δὲ βαρὺ μὲν αὐτη, καὶ οἱονεὶ πίσσα. οἷα δὲ τὰ τῆς κέδρου κάρφη φαίνεται τῷ μασησαμένῳ, τοιαύτη καὶ ἡ τῆς κανθάριδος ποιότης ὁτωοῦν ἁπαντᾷ. τῷ δὲ [7] ἐκ ταύτης μήποτε γένοιτο πόματι κατεσκευασμένῳ [8] ἐντυχεῖν ἀνθρώπῳ. ἅμα τε γὰρ προσενεχθῆναι [9] τὸ ἐξ αὐτοῦ [10] ποτὸν κατεσκευασμένον ἀνθρώπου χείλεσιν, αὐτίκα δὴ καὶ παραχρῆμα δριμυτάτης ὀδύνης ἐμπίμπλησιν αὐτὰ, προϊὸν δὲ ἐπ' τὰ εἴσω κατεσθίει πάντα, τὸ στῆθος, τὴν γα-

στέ-

[1] τον. [2] αταλυμινου. [3] επιβαλλων. [4] τουτο. [5] διαφυτοι. [6] ΚΑΝΘΑΡΙΔΕϹ. [7] abeſt δὲ. [8] κατεσκευομενω. [9] προσινεχθη. [10] αυτων.

στέρα, καὶ τὰ τῆς κύστεως χωρῆσαν εὐθὺς ἐκβιβρώσκει αὐτήν. ἐκ τούτου ἵστανται ὀδύναι πολλαὶ καὶ χαλεπαὶ περὶ τὸν χόνδρον. ἔστι δὲ ἕντερον ὁ χόνδρος, ὃ πλησίον μὲν αὐτῷ πως τῷ θώρακος κεῖται, πρὸς αὐτῷ[1] κύτει τῆς γαστρὸς ἠρεμιᾷ. λύει δ' οὖν τὸ ἐντεῦθεν ὑπό τε ἀμηχανίας καὶ φροντίδων ἀπροσδοκήτων οὐ συγχωρούμενος ἡσυχάζειν. ἀλλ' εἶδός[2] φασι τῶν κινυρῶν τὰς ἐκγόνους καὶ παλαιὰς γεγενημένας ἐφ' αὑτῶν γηρία κομίζειν, καλοῦσιν, οἶμαι, αὐτὰ πάππους ὑπὸ τῶν ἀνέμων οὗτοι πανταχοῦ ὁρῶνται κινούμενοί τε οἱ πάππαι καὶ ῥιπιζόμενοι τοῦ ἀέρος. τοιαῦτα ἄττα μοι δοκεῖ κἀ ἡ γνώμη διακοπτομένη τοῦ ἀνθρώπου τοῦ πιόντος πάσχειν, καὶ μεριζομένη τὸ φάρμακον ὑπὸ τῶν φροντίδων. πληρεστάτην τοίνυν κύλικα ποιήσας τοῦ λεγομένου κυκεῶνος δίδοθι πιεῖν ἀσίτῳ ταύτης ἐντὸς γενέσθαι λαχόντι τῆς κακοπαθείας. ἔστι δὲ ὁ κυκεὼν γλήχους ποταμίας μίξις καὶ ἀλφίτων ὁμοῦ μεθ' ὕδατος. ὁ μὲν οὖν δὴ κυκεὼν οὗτος γενέσθαι γὰρ οὖν λέγεται τῆς Δήμητρος ποτὸν τρόπῳ τοιῷδε[3]. Ὡς ἀφίκετο[4] Δημήτηρ εἰς Ἐλευσῖνα τῆς Ἀττικῆς μετὰ τὴν πολλὴν ἐκείνην πλάνην καὶ κακοπάθειαν, ἣν ἁρπασθείσης τῆς θυγατρὸς ἔδοξε πλανᾶσθαι, ξενίοις ὑποδέχεται Μετάνειρα αὐτήν. γυνὴ δὲ ἦν ἄρα, οἶμαι, ἡ Μετάνειρα τοῦ Κελέου. οὐ γὰρ δὴ παρὰ τῇ τυροῖ[5] τῇ Γπποθόωντος κατήγετο. βαρυνομένην γοῦν τῷ πάθει, καὶ ἐν συνοίᾳ καθημένην, αἰσχρορρήμονήσασα[6] ἡ Ἰάμβη μεταβάλλει αὐτήν. ἡ δὲ τέρπεται μὲν καὶ σφόδρα ἐπὶ τοῖς ῥηθεῖσιν, ἡ δὲ μή-

pag. 194.

[5] sic.

[1] αυτω δε τω. [2] αλλ οια δη. [3] τοιουτω. [4] αφικετο δε. [6] αισχρορημονησασα.

μήτηρ [1] παρὰ τῆς Ἰάμβης γελάσασα δὲ ἐπιθυμεῖ πιεῖν, καὶ τὸ ἐντεῦθεν γίγνεται τῆς Δήμητρος οὗτος [2] ὁ κυκεὼν ποτόν. ἔστω δὲ πρὸς τοῖς εἰρημένοις εἰς τὴν περὶ τούτων θεραπείαν ἐγκέφαλος συὸς εὐτραφοῦς μετὰ τῆς βοτάνης ἀμνοῦ καὶ τοῦ λεγομένου λινοσπέρμου. χρησιμώτατός σοι καὶ νέας αἰγὸς ἐγκέφαλος καὶ καθεψηθέντος ὕδωρ χηνὸς, ὡς πλεῖστον εἰς ποτὸν διδόμενον. ἄχρι μέν τοι τοσούτου τὸ ὕδωρ ἐστὶ πινόμενον, ἄχρις οὗ κορεσθεὶς ὁ πίνων εἰς ἔμετον τραπῇ. καθιέτω δὲ δὴ τοὺς δακτύλους διὰ τοῦ στόματος, ἵνα μηδέπω τῆς τροφῆς εἰς πέψιν ἐλθούσης ἀποβληθείη τὰ σιτία. πάντως γὰρ τῇ τροφῇ τὸ φάρμακον συμπλακὲν [3] δήπου συνεξελεύσεται. ἀλλὰ γὰρ καὶ ἐνιέσθαι τὸν τοιοῦτον προσήκει γάλακτι. ὑπαγομένη γὰρ ῥᾷον [4] ἂν ἡ γαστὴρ τούτῳ καθάπαξ κημίζει.

Οὐ μὴν ἀλλά τοι καὶ δεινοπαθοῦντι καὶ ἐκλυομένῳ τὸ γάλα ἐπωφελέστατον, ἢν πίνῃ τις αὐτὸ τῶν πεφαρμαγμένον, καὶ τὰ τῆς ἀμπέλου φύλλα, σὺν αὐτοῖς ὁμοίως τοῖς κλήμασι μετ' οἴνου κοπέντα τοῦ γλυκέος, ἀπεριόπτως ἐκσώζει τὸν κακοπαθοῦντα, ἐπειδάν τις πίῃ αὐτοῦ εὐπετῶς δύναται. ἀτὰρ δὴ καὶ ἡ λεγομένη σκορπίουρος μετὰ μέλιτος, ὥστε πίνειν αὐτήν ἐστιν ἐπιτήδεια [5]. εἰς ὕψος [6] αἴρεται καὶ θάλλει ἡ σκορπίουρος
pag. αὕτη καὶ τὰ καυλία φέρει λεπτὰ, καὶ ἡ μολόθουρος
196. διὰ ταῦτα προσέοικεν αὐτῇ. ἐν Σάμῳ δὲ τῇ νήσῳ [7] γίγνεται [8], ἣν οἱ τὴν νῆσον οἰκοῦντες κηλοῦσιν ἀστέρα.

τε-

[1] ριθεισιν η δημητηρ. [2] υτως. [3] συν πλακιν. [4] ραςων. [5] επιτηδεια λαμβανεσθαι. [6] υψος δε. [7] ω. [8] γιγνεται γη.

τετράδραχμόν τοι χρὴ τῆς γῆς ταύτης εἰς τὴν περὶ τύτων θεραπείαν ἐμβαλεῖν [1] φέροντα.

Παρθένιον δὲ ἐκαλεῖτο Σάμος, καὶ Φυλλίδα αὐτὴν ἐπὶ τούτοις οὐκ ὤκνησαν καλεῖν, καὶ ἀπὸ Ἰμβράσου τοῦ ποταμοῦ αὖθις τὸ ὄνομα ἔσχεν Ἰμβρασίας. κριὸς δὲ τῆς γῆς, ἧς ἀστὴρ ἐστιν ἡ προσηγορία, ταύτης γέγονεν [2]. τοίνυν τοῦ γλυκέος οἴνου τὸ διπλάσιον τοῦ ῥηθέντος μέτρου διδόμενον ποτόν. τούτῳ μέν τοι τῷ οἴνῳ, εἴτουν ἑψήματι πηγάνου κλωνία συνεκλύου [3], καὶ ῥόδινον μῦρον ἐπίβαλε, εἶτα συνταράττε ἐπιπολύ. οὐ γὰρ μὴ τοῦ δεινοῦ περιγενόμενον διοίσει, καὶ περισώσει τοῦ κινδύνου τὸν πλημμεληθέντα.

## ΠΕΡΙ ΤΟΥ ΚΟΡΙΟΥ [4].

Τό γε μὴν οὕτω καλούμενον κόριόν ἐστι μὲν δυσαλθὲς ποθὲν τοῦτο δὴ καὶ δυσθεράπευτον. τῶν γὰρ μετασχόντων αὐτοῦ, καὶ πιόντων ὅλως, οἱ μὲν ἔκφρονες καὶ φλύαροι [5] αὐτίκα γίγνονται, καὶ ὁ λόγος αὐτοῖς οὐ σώζει τὴν τάξιν, οἱ δὲ παραπλῆγές τε ἄλλως καὶ ἐκμανεῖς, καὶ βοῶσιν ὀξύ περ οὗτοι, καθάπερ αἱ Βάκχαι οἰστρηθεῖσαι. ἀλλὰ τούτοις μὲν βοηθεῖ οἶνος ὁ παλαιὸς ἄκρατος, καὶ οὗτος εἰς πλῆθος πινόμενος. ὠφελιμώτατος δὲ καὶ ὁ πράμνιος, ἔτι μέν τοι καὶ ἅλμη πρὸς τούτοις ποθεῖσα δριμεῖα, ἐπίκουρος γίγνεται τῇ συνενεχθείσῃ τῷ ἀνθρώπῳ τῇ ἀπὸ τοῦ κορίου τούτου κα-

[1] εμβαλλειν. [2] Hic locus mutilus in Mediceo, integer ex Vindobonenſi reſtituitur hoc pacto: γιγονεν ιυρετης. χνσιον δε ο τοπος καλειται, εν ω περ ουκ ιυρεθηναι ταυτην την γην λογος. το δε ορος εν ω το χνσιον κερκετιον. επιδεξιον τοινυν, κ. λ. [3] συνεκλειου. [4] KOPION.
[5] φλοιαροι.

κακοδαιμονίᾳ, καὶ ὠὰ ὄρνιθος κενωθέντα καὶ θαλάσσης
pag. 158. ἀφρῷ συναφυρέντα ζωὴν περιποιεῖ τῷ τοιούτῳ, τὸν [1] θάνατον ἐπιόντα προσελθεῖν οὐκ ἐᾷ. τούτῳ τοι ἁλισκόμενόν ἐστι καὶ τὸ κέπφος ἰδεῖν. ἔστι δὲ ὄρνεον θαλάσσιον, ὃ καλοῦσι κέπφος. θηρῶσι δ' οὖν τὸ ὄρνεον τοῦτο, ἀφρὸν συναναμιγνῦντες τοῖς ὠοῖς ἁλιέων παῖδες. ἐπειδὴ γὰρ δεῖπνον ἀφρὸς ὀρνέῳ [2] γιγνόμενος ἐστι, καὶ ζωῆς αἴτιον τὸ αὐτὸ, καὶ θανάτου πρόξενον γίγνεται. οὗτοι δὴ οὖν οἱ [3] ταύτην ἐπιμελῶς [4] τὴν ἄγραν [5] εἰδότες [6] κατὰ σμικρὸν τὸν ἀφρὸν μετὰ τοῦ ὠοῦ μίξαντες πέμπουσιν εἰς δέλεαρ τούτοις τοῖς ὀρνέοις. οἱ δὲ ἑπόμενοι τῇ τούτων ἀπάτῃ καταβραχὺ, καὶ μεταποιούμενοι, καὶ κατεσθιόντες, ἐνίσχονται μὲν δὴ τῇ ἄγρᾳ, δολερᾷ τε οὔσῃ καὶ ὑπούλῳ, οὐ δὴ [7] διαφυγγάνουσι γὰρ οὖν τῶν ἀσπαλιευτῶν ἐπιμόχθους χεῖρας. ἀλλὰ γὰρ σύ γε τὴν ἀγλαυκῆ καὶ μελάνην ἐπὶ τούτοις λάμβανε [8] θάλασσαν, ἣν ὑποτάσσεσθαι, καὶ δουλεύειν ὁ τοῦ Ποσειδῶνος ἐθέσπισε τοῖς ἀνέμοις νόμος. ἐθέσπισε δὲ ἄρχειν ἄρα καὶ τοῦ πυρὸς ὁ Ποσειδὼν τοὺς ἀνέμους δεῦρο. ἡ μὲν οὖν θάλασσα ταραχώδης οὖσα καὶ χαλεπὴ δεσπόζει τῶν νηῶν [9] καὶ τῶν διαφθειρομένων ἀνθρώπων ἐν αὐτῇ ὑπὸ τῶν ἀνέμων αὕτη βασιλευομένη. τὸ δὲ δὴ πῦρ ἄρχει μὲν τῆς ὕλης ἀρὰ, καὶ ἀπηχθημένον ἐστὶν αὐτῇ, δεσποζόμενον δὲ ἀνέχεται πάλιν ὑπὸ τῶν πνευμάτων. ἔτι μὴν καὶ ἔλαιον, ἀλλὰ σὺν οἴνῳ διδόμενον, τοῦτο ἐπωφελέστατον τῷ κάμνοντι, καὶ χιὼν με-

[1] κ̣ τον. [2] τω ορνεω. [3] οις. [4] επιμελες.
[5] αγραν των ορνεων. [6] ειδέναι. [7] δε. [8] λαμβανε ενταυθα. [9] νεων.

μετὰ δὴ γλεύκους πινομένη ἀπαλλάττει πόνον. ψιθίας δὲ ἔσω τῆς ἀμπέλου παραχρῆμα ὁ τρυγηθεὶς οἶνος, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν οἱ τρυγήσαντες πατοῦντες θλίβουσι τοὺς βότρυς, ὅτι τε δὲ [1] αἵ τε pag. μέλιτται καὶ σφῆκες καὶ αἱ τεθριδόνες [2] περιπετομε- 200. ναι, καὶ ἐφιζάνουσαι ταῖς σταφυλαῖς μάλιστα εὐλοχοῦνται [3] τοῦ γλεύκους, ταὶ τῷ τῶν ἀμπέλων ἀλώπεκες λυμαίνονται καρπῷ.

## ΚΩΝΙΟΝ.

Ὑπάρχει δὲ πιόντι κώνιον βλάπτεσθαι μάλιστα τὴν κεφαλὴν, φοινίττεσθαι δὲ ὡς ἔτι μάλιστα τὸ σῶμα, ἀχλύν τε τοῖς ὀφθαλμοῖς ἐπικεῖσθαι πολλὴν, καὶ οὖν καὶ ὁρᾶν σφαλερὸν τοῦτῳ δὴ συμβαίνει, καὶ περιδινεῖσθαι δοκεῖ τὰ ἐν ὄψει πάντα, πόδες τε οὐκ ἔτι δύνανται αὐτοῖς τὸν χρώμενον φέρειν, καὶ αἱ χεῖρες, ὡς ἀετῶν σκότῳ [4] βαδιζόντων ἀνὰ τοὺς ξενωποὺς πλανώμεναί εἰσι, καὶ ἐπαφωμένων τὸν ἀέρα. ὑπολαμβάνει τοιγαροῦν αὐτὸν ἐπὶ τούτοις πνιγμὸς, καὶ στενουμένης τῆς φάρυγγος [5] ἐμφράττεσθαι δοκεῖ. ἀλλὰ γὰρ καὶ τῶν ἄρθρων ἐπιψυχομένων, οὐκ ἔτι σωφρονεῖ, ἀλλὰ σκοτούμενος ὡς τὰ πολλὰ κατὰ τῆς γῆς πίπτει, καὶ καθάπαξ πρὸς τὸν θάνατον ὁρᾶν ὁ τοιοῦτος δοκεῖ. δόξαις μέν τ' ἂν βοηθεῖν τῷ κάμνοντι ταύτῃ, καὶ τῆς ἀπὸ τοῦ φαρμάκου αὐτὸν ἐξείργειν συμφορᾶς, εἰ δίδοις ἔλαιον καθ' ἑαυτὰ καὶ οἶνον [6] ὥστε πίνειν θερμὸν καὶ ἄκρατον τούτῳ, ἵνα δὴ τοῦτο τὸ φάρμακον μετά τε τοῦ οἴνου καὶ ἐλαίου ἀναμιγνύ-



[1] δη. [2] τενθρηδονες. [3] ευωχουνται. [4] ως αι των εν σκοτω. [5] φαρυγος. [6] οινον εις χορον.

μενον ἔνδον, εἶτα ἀποβλυσθὲν ἀπαθῆ τὸν μετεσχηκότα αὐτοῦ φυλάξῃ τῶν ἐξ αὐτοῦ κακῶν. ἔνιοι δὲ καὶ τὴν γαςέρα ἐλκίῳ πρότερον ὑπέχριον. καθκίρων γὰρ αὐτὴν διὰ τοῦ κλυστῆρος εἰς ῥαστώνην ἄξεις. ἀλλὰ μὴν καὶ οἴνου μετὰ καὶ τούτου ἀκράτου, δαύκου τε ὁμοίως τῆς βοτάνης τὰ ἀπαλώτατα καυλία, ἢ δάφνης τὰ φύλλα, ἣν τὰ Θεσσαλίας μὲν τὸ πρῶτον ἐκόμισε Τέμπη, ἐστεφανώσατο δὲ ὁ ἐν Δελφοῖς Ἀπόλλων τὴν κε-
pag. 202. φαλὴν τοῖς ἐκείνοις κλάδοις, πέπερί τε καὶ κνίδης σπέρμα ἅμα τρίψας συναλάμβανε, προσεπιβάλλων δηλαδὴ καὶ ὀποῦ καὶ ἰρίνου μύρου, σίλφιόν τε μετ' ἐλαίου λευκοῦ λειώσας, τὸν νοσοῦντα πίνειν ἁπλείστως κέλευε. ἀλλά τε καὶ γλυκέος οἴνου μετὰ γάλακτος ἑψῶν ἠρεμαίῳ πυρὶ, δίδοθι καὶ τοῦτο ὥστε πίνειν αὐτῷ[1].

## ΤΟΞΙΚΟΝ.

Παραχρῆμα δ' ἂν ἐπαμύνειν ἔχοις τῷ πεπωκότι τὸ τοξικὸν, ἢν θεασάμενος τὸν ἄνθρωπον εὔροις μὲν πρῶτον βαρυνόμενον καὶ πεφορτισμένον ὥσπερ αὐτὸν, ἔπειτα κάτωθεν μὲν παχείαν τὴν γλῶτταν ἔχοντα, ξηρὰ δὲ τὰ χείλη. καὶ τὰ στόμια οἰδαίνεται, ἥ τε δὴ φάρυγξ τὰ αὐτὰ ὑπομείνασα τοῖς χείλεσι, φλέγμα λεπτὸν καὶ ξηρὸν ἀναπέμπει σφόδρα. ἔπειτα ἐκ βάθρων αὐτοῦ τὰ μὲν οὖλα ῥῆξιν ὑπομένει, ἡ δὲ διάνοια ταράττεται, βοᾷ τέως ὑπ' ἐκπλήξεως γεγονὼς κάτοχος δειλίᾳ, φωνῇ τε αἰγὸς ἐοικυίᾳ χρῆται, καὶ ὥσπερ οἱ μισανθρωποῦντες μοχθηρὸν φθέγγεται, καὶ ἁπλῶς οἷον αἱ τῶν ἀποκοπτομένων τὰς κεφαλὰς κεφαλαὶ παρασύρει τὴν γλῶτταν, οἷα δὴ τῆς κερνοφόρου Ῥέας ἡ ὑποζά-

[1] αυτον.

ζάκορος, ἀνά τε δὴ τὰς ὁδοὺς καὶ τὰ χωρία στρεφο- pag. 204.
μένη, ἐμμανής τε οὖσα καὶ ἔνθεος, ἀθρόᾳ κέχρηται καὶ μακρᾷ τῇ φωνῇ. οἱ δὲ ἀκούσαντες εὐλαβοῦνται τῆς Ἰδέας Ῥέας τὸ φοβερώτατον ὕλαγμα, οἷον καὶ μανίας πλῆρες. τοιαῦτα καὶ οὗτος ἐσφαλμένα καὶ λύσσης γέμοντα φθέγγεται, καὶ ὥσπερ οἱ παῖδες τὰ πολλὰ κλαυθμυριζόμενος καὶ ὠρυόμενος διατελεῖ, ταυρηδόν τε ὑποβλέπεται, καὶ ὑπαφρίζει τῷ στόματι, καὶ τοὺς ὀδόντας παρατρίβων ἦχον ἀποτελεῖ [1], ὥστε χρὴ τοῦτον μὲν φυλάττειν τοπρῶτον δείσαντα, ἔπειτα οἶνον ἐγχεῖν τούτῳ πολὺν καὶ μὴ βουλομένῳ, κἂν [2] συνηγμένους τοὺς ὀδόντας ἔχων, ἐνήθει [3] τὸν οἶνον διεπαίρων αὐτοὺς, ὅπως ἂν ἐξέμῃ, ἵν' ἐξεμόντος μετὰ βίας αὐτοῦ τῆς ἐκ τῶν δακτύλων, συνεξέλθῃ τὸ δεινὸν ἐκεῖνο φάρμακον θανατηφόρον [4]. ἀλλά τοι καὶ καθεψηθέντος νεογνοῦ που χηνὸς, καὶ διατακέντος τὸ ὕδωρ πρὸς ἴασιν ἄγει πινόμενον σφόδρα, τῆς τε μηλέας τῆς ἐν ὄρει ὁμοίως ὁ καρπὸς, καὶ ὁ φλοιὸς τῆς αὐτῆς μηλέας δεῦρο κοπεὶς, ἄριστα ἰᾶται, καὶ τῆς ἐν κήποις δὲ τραφείσης μηλέας ὁ καρπὸς πρόσφορος. ἔστω δὲ τὰ μῆλα εἰαρινά. εἰ δὲ μὴ παρείη ταῦτα, τοῖς λεγομένοις ἐνταῦθα κέχρησο στρουθίοις, οἵοις [5] ἐκόμισεν ἡ Κρήτη, στύφου [6] τὰ Κυδώνια μῆλα. πάντα τοίνυν σφύρῃ ταῦ- pag.
τα συγκόψας [7] εἰς ὕδωρ ἔμβαλε [8], τὸ δὲ ὕδωρ ἐχέτω 206.
καὶ γλήχους. διανοιγομένου δὲ τὸ στόμα, ἐνσταζέτω τις τοῦ ἀνθρώπου τούτου τὸ ῥόδινον μύρον, ἢ ἴρινον, ποιῶν τε τοῦτο συνεχῶς, καὶ ἐν ἡμέραις πάνυ πολλαῖς



[1] απολει. [2] κχν η. [3] ενιθι. [4] και θαναt... [5] η οις. [6] συφουσι. [7] συνκοψας. [8] εμβαλλε.

ῥύσασθαι τῆς τε μανίας καὶ πλήξης καὶ κακοπαθείας τῆς ἐκ τοῦ τοξικοῦ τοῦτον δυνήσεται τὸν ἄνθρωπον. ἐπαλείφουσι δὲ τούτῳ μὲν τὰς αἰχμὰς τῷ φαρμάκῳ Ἀράβων Νομάδες, καταχρίουσι δὲ τὰς ἀκίδας τῶν βελῶν οἱ τὴν παρὰ τὸν ποταμὸν κειμένην τὸν Εὐφράτην γεωργοῦντες χώραν. ἔστι δὲ ὡς ἐπίπαν τοῖς τιτρωσκομένοις τοῦτο τὸ [1] τοξικὸν πολέμιον. ἐμπεσὸν μὲν γὰρ τῷ σώματι, καὶ γευσάμενον καθάπαξ ἀνθρωπίνου χροὸς, μελανὸν μὲν τὸ σῶμα πρῶτον κατεργάζεται τοῦ τρωθέντος, ἔπειτα τρέπει αὐτὸ, καὶ νεκρῶδες ποιεῖ, καὶ διαδέχεται αὐτὸ ἐκ τούτου ὑδαρὸν [2], ὁ δὲ ἰὸς τοῦ ἀνθρώπου κατασηπομένου, καὶ ῥήξεις ὑπομένοντος τούτου, κατὰ παντὸς μέρους ἐξωχωρεῖν βιάζεται σὺν ὕδατι πάνυ πολλῷ καὶ ἀκαθαρσίᾳ.

## ΠΕΡΙ ΚΟΛΧΙΚΟΥ.

Ἀλλὰ γὰρ καὶ τοῦ τῆς Μηδείας ἐπειδὴ ὅλως τις μετειληφὼς εὑρεθῇ φαρμάκου, ὀλεθρίου τε δὴ τούτου καὶ καυστικωτάτου τυγχάνοντος, ἐφημέρου τε πρὸς πάντων ἐπονομαζομένου, πρῶτον μὲν ἔνδοθεν ἐγείρεται, καὶ περὶ τὰ χείλη τοῦ πίοντος ἀμήχανος κνησμός. καὶ οἷος δὴ τοὺς χριομένους τῷ ὀπῷ τῆς κράδης κνησμὸς κατέχειν πέφυκεν, ἢ τοὺς γε τῇ τραχύτητι τῶν κνιδῶν pag. 208. ἐντετυχηκότας, ἢ οἷος ἀπὸ τῆς σκίλλης προστριβείσης κνησμὸς ἐγγενέσθαι [3] μετ' ἐρυθήματος τοῖς σώμασι φιλεῖ, τοιοῦτος ἐνδεῖ [4] τοῦ πίοντος τῷ στόματι δακνώδης καὶ βαρὺς καθάπαξ εὑρίσκεται κνησμός. καταποθὲν μὲν οὖν τὸ φάρμακον τοῦτο, τὸν στόμαχον εὐθὺς εἰς ἕλκωσιν τοῦ ἀνθρώπου φέρει. ἐμεῖ δ' οὖν πονηρὸν ὁ τοιοῦ-

[1] Deest το. [2] υδαρος. [3] ενγιγνισθαι. [4] ενδη.

οὗτος καὶ ὕφαιμον. τέως δόξειεν ἄν τις χροῆς [1] τὸ ὕδωρ τοῦτο εἶναι ὕδωρ πλυθέντων ἐν αὐτῷ. ἔπειτα τῆς θεραπείας ἀφυστεριζούσης ἐπίτασιν ἡ χροιὰ δέχεται, καὶ τὸ προϊὸν διὰ τοῦ στόματος τοῦ πάσχοντος αἷμα, τοὐντεῦθεν [2] τοῖς ὁρῶσι δείκνυται καθαρὸν, πολλάκις τε δὴ καὶ τῶν ἐντέρων οἷον ἀφρὸς αὐτῷ ἀναμεμιγμένος συνέξεισιν, καὶ τὰ περιττώματα ὁμοίως τῆς γαστρὸς συναναφυρέντα τῇ ἔξω διὰ τοῦ στόματος πορεύεται. τοσαῦτα μὲν δὴ τὸ χολῶδες κακὰ ἐργάζεται τὸν πιόντα αὐτόν. ἐπειδὰν δέ τις βουληθῇ τὸν δεινοπαθοῦντα ἰάσασθαι, ἐκεῖνα ποιείτω. φύλλα τοῦτο μὲν δὴ κόπτων [3] ὁ τοιοῦτος δρυὸς, τοῦτο δὲ καὶ φηγοῦ, ἀλλὰ σὺν αὐτοῖς φύλλοις κοπτέτω τὸν καρπὸν τῆς φηγοῦ, ἐμβαλὼν [4] μέν τοι τῷ γάλακτι ταῦτα, πινέτω τὸ γάλα. ἐπειδὰν δὲ πλῆθος [5] μετάσχῃ τούτου τοῦ [6] γάλακτος, καὶ αὐτῇ προσάγων τῇ θηλῇ τὸ σῶμα τοῦ ζώου πινέτω τὸ γάλα. βοηθήσει δὲ [7] καὶ τὸ πολύγονον ἡ βοτάνη, καὶ αὖθις [8] ταύτης τὰ ῥιζία τούτῳ, ἣν ἑψηθῇ ταῦτα ἐν γάλακτι. καὶ ἀμπελῶνος ἕλικες ὡσαύτως ἰάσαιντ' ἂν βλάβος ἐναποβραχέντες ὕδατι, καὶ κάστανοι τὸν φλοιὸν περιαιρεθεῖσαι, ἃς ἡ λεγομένη Καστανάια τὸ τῆς Θεσσαλίας ὄρος ἐκόμιτέν ποτε, pag. νάρθηκός τε τὸ ἐντὸς δὴ τῇ τοῦ Προμηθέως ἐπὶ τῷ πυρὶ 210. λέγεται γενομένῃ συλλαβέσθαι κλοπῇ, κ᾽ ἔρπυλλος ἡ βοτάνη, καὶ μύρτα ὁμοίως, ὅ τε τῆς σίδης ἐπὶ τούτοις ἀποβρεχθεὶς ἐν ὕδατι σὺν τοῖς ἄλλοις φλοιὸς ὠφελεῖν

[1] χροιας. [2] το εντευθεν. [3] κοπτετω. [4] ενβαλλων.
[5] εις πληθος. [6] Deest τοῦ. [7] βοηθησεις δ' αν.
[8] Pro αὖθις habet αλλοτε.

λεῖν δύναται. μάλιστα δὲ πάντων ὠφελιμώτατον πινόμενόν ἐστι τοῦτο [1] τὸ ἐκ πάντων ὕδωρ.

## ΠΕΡΙ ΙΞΙΑΣ.

Μήποτε οὖν [2] σε τῆς ἰξίας τὸ δολερὸν [3] ὅλως διαλάθοι ποτὸν, μηδέ γε ἔλθοιεν τοῦ [4] τινος στόματος πλησίον δεινὸν ὂν φάρμακον. τὴν μὲν γὰρ ὀλκὴν [5] προσηδεῖναι τούτῳ τῷ ὠκίμῳ δοκεῖ. ποθεῖσα δὲ τραχύνει τὴν γλῶτταν, καὶ ἐξελκοῖ σφόδρα. ἔπειτα τοῦ πιόντος ἡ ψυχὴ πεπλανεῖσθαι δοκεῖ, καὶ κατεσθίεσθαι [6] μὲν τὴν γλῶτταν ὑπὸ τῶν ὀδόντων. ἔμπληκτος δέ ἐστι, καὶ ὡς ἀπολωλεκὼς τὰς φρένας μετεωρίζεται. ἀμφοτέρους τοίνυν τοὺς πόρους ἐκ τούτου στένωσις λαμβάνει, ὥστε μήτε τὰ οὖρα προχεῖσθαι τοῦ λοιποῦ, μήτε τὴν γαστέρα κατὰ τὴν ἑαυτῆς ἐκκρίνεσθαι φύσιν συγχωρεῖσθαι. ἀλλά τοι τὸ πνεῦμα διαδρομὰς μὲν ἔνδον ἀποκλεισθὲν ἀπεργάζεται, ἠχεῖ δὲ μένον ἐν ταὐτῷ, κὴ
pag. βορβορύσσεται, ὁτὲ μὲν βροντῆς ἦχον ἀπεργαζόμενον,
212. ὃν ἠχεῖν τὴν βροντὴν ἐν [7] Ὀλύμπῳ λόγος, ὁτὲ δὲ τὸν ἐκ τῶν κυμάτων τῆς θαλάσσης περὶ τὰς πέτρας γινόμενον ἐκμιμεῖσθαι κτύπον. ἀλλά τε καὶ μετὰ κινδύνου τὸ πνεῦμα ἄνεισι πολλάκις τῷδε, ἀτὰρ οὖν καὶ μόλις. τὰ τοίνυν φαρμάκων δὴ ταῦτα ἐπειδὰν καὶ ποθῇ, ἐκκρίσεις ἀπεργάζεται τῆς γαστρὸς χαλεπὰς, καὶ οἷα τῶν ὠῶν τυγχάνει τῶν διεφθαρμένων [8], ὅτ' ἂν αὐτοῖς αἱ κατ' οἶκον ὄρνιθες ἐπικαθήμεναι ἐποίσωσι βλάβας [9], ἢ καὶ ἄνευ τῶν κελύφων οὐκ ἐν ὥρᾳ τεχθῇ, ἢ πληγῆς αἰτίαν παρατχούσης, ἢ νόσου συνεπιλαβούσης εἰς τὴν

[1] τουτων. [2] Μη μεν ουν ποτε. [3] δολερον ποτε. [4] τουτο.
[5] ολμην, melius tamen ὀδμήν. [6] κατεσθεισθαι.
[7] την εν. [8] τα διεφθαρμενα. [9] ἔλαίος.

τὴν τούτων φθοράν. θεραπευθείη μέν τ' ἂν ὁ βλαβεὶς ὑπὸ τῆς ἰξίας, ἢν πίνῃ γλεῦκος ἐναποβραχέντος ἀψινθίου. ἢ τερεβινθίνης ῥητίνης, ἢ πευκίνης ἐπιλαμβάνει, τῆς τε θρηνώδους ἐπὶ τούτοις δάκρυον πίτυος, παρ' ἣν ἀπέδειρεν [1] ἐρίζοντα Μαρσύαν ὁ Ἀπόλλων ἐλθὼν, ἡ δὲ ἀπ' ἐκείνου ὀδύρεται κατά τε ἄγκη [2] καὶ τοὺς δρυμοὺς, τὸν παρὰ πάντων ἀᾴδόμενον μόρον τοῦ Φρυγὸς ἐκείνου. λαμβάνων τοίνυν τοῦ πολιοῦ τοῦ λευκοῦ πρὸς τούτοις τὰ ἄνθη, βοτάνη δέ ἐστι τὸ πολιὸν, ᾗ καλοῦσιν αὐτὸ μυκτόνον, πηγάνου τε βλαστοὺς, καὶ νάρδον, καὶ κάστορος τοὺς κρεμαστῆρας, ὀβολὸς δὲ δὴ τοῦ καστορίου τυγχανέτω σταθμὸς, καὶ σίλφιον, ὁ δὲ σταθμὸς ὑπαρχέτω καὶ τούτου ὀβολὸς, τραγοριγάνου τε τοσοῦτον, ὅσον περ χεὶρ χωρεῖ. ὠφελεῖ σὺν οἴνῳ πινόμενα, καὶ τηρὸς ἔτι μὴν ἀπαλὸς, προβάτιος ἐσθιόμενος. p. g. 214.

## ΠΕΡΙ ΤΑΥΡΕΙΟΥ ΑΙΜΑΤΟΣ.

Ἀβουλήτως [3] πταίσας τῷ αἵματι τῷ ταυρείῳ πρὸς [4] ποτὸν, τῇ ἀπὸ τούτου περιπίπτει κακώσει, τοιάδε ἐμπεσοῦσα τοῖς στέρνοις ἡ τροφὴ πήγνυται, ἔπειτα διὰ τῆς γαστρὸς χωρῆσαν θρομβοῦται τὸ αἷμα, ἐμφράσσονται δὲ οἱ πόροι οἱ τῆς ἀναπνοῆς. εἶτα τοῦ πνεύματος ἔνδον ἀπῶσθαι [5] βουλομένου, ἐπὶ θάτερα μὲν ὁ αὐχὴν ἀποκλίνει μέρη, ὑπό τε ἀδημονίας καὶ σπασμῶν συνεχόμενος, ἀδύνατός τε ὢν ἀντέχειν, κατὰ τῆς γῆς πίπτει, καὶ οὐδὲ ἁπλῶς, ἀλλὰ ὑπαφρίζων καὶ σπαίρων, καὶ ὅσα τοιαῦτα ὑπομένων, οὕτως [6] ἀπαλλάσ-

[1] επεδειρεν. [2] τε τα αγκη. [3] Επειδαν δε τις αβουλητως. [4] χρησηται προς. [5] αποθλαι, legi potest etiam αποθαι. [6] ουτος.

λάσσει κακῶς. τῷ μέν τοι ταῦτα ὑποστάντι ἐπειδὰν θελήσῃς βοηθῆσαι, ἀμύναι τοιῶσδε. τὸν τῆς ἀγρίας συκῆς ἀπόκοπτε καρπὸν, ἐμβαλὼν δὲ ὄξει τοῦτον ἄρα πλεῖστον ὅσον μεθ' ὕδατος, ἀπ' αὐτοῦ τοῦ ὄξους δίδοθι τῷ τοιούτῳ πίνειν. τῇ τε καταγαγεῖν πεπληρωμέ-
pag. νην τὴν γαστέρα, καὶ κενῆν ἐνιέντα αὐτὴν, τούτῳ κε-
216. χρημένον τὰ περιττώματα ποιεῖσθαι χρὴ λόγον. αὖθις δὲ ὀθόνης δι' ἀραιᾶς διηθῶν πυτίαν ἄλλοτε μὲν νεβρῇ, ἄλλοτε δὲ ἐρίφου, τοτὲ δ' αὖ λαγωῇ, μετευωχεῖσθαι [1] ἐπιδιδὺς, οἵσεις [2] πρὸς ὑγιείαν τὸν κάμνοντα [3]. λάμβανε δὲ καὶ ὀπὸν τὸν ἱστοτάσιον τῇ σιλφίου σταθμὸν, ᾗ κράμβης ἐν ὄξει τὸ σπέρμα ἐναποβραχείσης, καὶ κονύζης ἔτι μὴν τοὺς κλῶνας τῆς βοτάνης κόπτων καὶ πέπερι, ἥκιστα μὲν τὸν καρπὸν λέγω, ἀφ' ᾧ δὲ γίνεται [4] τὸ πέπερι, τὰ φύλλα δὲ λέγῳ τῇ φυτῇ, μετὰ [5] δὴ τῶνδε καὶ βλαστοὺς σύγκοπτε [6] τῆς βάτου. τοῖσδε γὰρ οἷς εἶπον χρησάμενος ὧδε τό τε παγὲν ἔνδον ἤδη καὶ θρομβωθὲν αἷμα διαλύσαι καὶ ἀποσμῆξαι ῥᾳδίως δυνήσῃ.

## ΠΕΡΙ ΒΟΥΠΡΗΣΤΕΩΣ.

Μὴ διαλάθῃ δέ σε μηδὲ ἡ βούπρηστις, καὶ τὸ ἐκ ταύτης ὑπό σου περιγιγνόμενον ἀγνοηθῇ τοῖς ἀνθρώποις κακόν. πεύσῃ γὰρ πρῶτον μὲν ὡς ἄρχεται ὀδύνας παρέχειν τῷτο τοῖς ποιοῦσιν αὐτὸ, λιτρώδης τέ τις αὐτίκα πε-

[1] ευωχεῖσθαι. [2] οισης. [3] Heic quoque pauca desunt in Mediceo. Sed praesto est Vindobonensis, ex quo defectum ita supplemus: ναι μην και λιτρου κομιδην λιωθεντος καλως τριων υπαρχοντος οβολων, και τουτω δηλαδη τω σταθμω εγω μετ' οινου δη τω πασχοντι διδομενη ποσις.
[4] γιγνεται. [5] μετα δε. [6] συνκοπτε.

περί τε τὰ χείλη καὶ τὸ στόμα, καὶ οἷά πέρ ἐστιν ἡ γεῦσις τοῦ μάκου [1] τούτου ποιότης. ἵσταται ἐπὶ τὰ κάτω γιγνόμενον [2], ἀλγεῖν μὲν τὴν γαστέρα τὸ φάρμακον ποιεῖ [3] ταύτης, καὶ ὡς ἐπίπαν πονηρὸν τῷ [4] στόματι γίγνεται, ἐμφράσσεται δὲ τῶν [5] οὔρων πόρος, pag. 218. ἡ γε μὴν κύσις ὑπὸ πνευμάτων ὀχλουμένη ὑπομένει ψόφους, καὶ οὖν καὶ ὄγκος περὶ τὴν γαστέρα τούτου ἐγείρεται πολὺς, καὶ τοῖς ὑδέρῳ περιπεπτωκόσιν ἔοικε τὴν χροιάν. ὥσπερ οὖν καὶ διωδυμένοις συῤῥέοντος εἰς αὐτὴν παντὸς δήπου τοῦ κακοῦ τῶν ἔνδον συνισαμένου [6], τὸ δ' οὖν δέρμα ἐκτέτατκι, καὶ τοῦτο ἐπὶ [7] πάντων ὡς ἐστιν τῶν μελῶν δείκνυται. πάλιν δ' αὖ ὥσπερ τὰς δαμάλεις καὶ τοὺς μόσχους ἐμπίπλασθαι [7] καυλία φαγόντας ἐκ παντὸς συμβαίνει, οὕτω δὴ τιῶν [8] ὑπὸ τούτου κατεσχημένων τοῦ φαρμάκου ὀγκοῦσθαι [9] συμβαίνει τὴν γαστέρα, διά τοι τοῦτο καὶ λέγουσιν οἶμαι, οἱ νομεῖς παρ' ἐφ' ὧν τὸ ζῶον, βούπρηστιν. ἀλλὰ σὺ μὲν ξηρὰ σύκα μετ' οἴνου ἑψήσας πίνειν ἐπίτρεπε τῷ τῆς θεραπείας δεομένῳ ταύτης. ὡσαύτως δὲ σφύρη κόψας πάλιν [2], καὶ ἑψήσας [10] σύκα ξηρὰ, ἄριστον ἕξεις δὴ τῷ νοσοῦντι βοήθημα τοῦτο, ὥστε χρὴ πίνειν ἐπιτρέπειν εἰς κόρον [11]. ἄμεινον γὰρ ἕξει. ἐπὶ τούτοις μὲν δὴ ξηρὸν τὸν φοινίκων καρπὸν ἐναποβρέχειν ἄρα προσῆκον γάλακτι, εἶτά που διδόναι τὸ γάλα πίνειν τούτῳ [12] δὴ τῷ πεφαρμαγμένῳ. ξηρανθεισῶν τε



[1] Sic in utroque Codice, forte tamen φαρμάκου. [2] γινομενον. [3] ποιει. τω δε δη ταυτης ως, κ. λ. [4] Deest τῷ. [5] ο των. [6] και συνισαμενου. [7] εμπιμπρασθαι. [8] και των. [9] πχνυ. [10] εψησας παλιν. [11] Inter κόρον & ἄμεινον haec habet: απ αυτου σοι τω κακοπαθουντι. [12] τουτο.

ἀπίων ὡσαύτως καὶ ἀποβραχεισῶν ἐν οἴνῳ τὸ πόμα λυσιτελέστατον, ἥν τε τῆς βάκχης λεγομένης ὁ καρπὸς, ἥν τε τῆς μυρτάδος ἧ, ἥν τε τῆς σύριδος[1]. πίνειν τε αὖ καὶ
pag. γάλα γυναικὸς ἐπωφελέστατον, ᾧ πίνειν ὁ λόγος ἐπι-
220. τρέπει παραιρούμενός σφι τῆς συμφορᾶς. ὥσπερ μέν τοι τὰ βρέφη προσάγοντα αὐτὸν τῇ θηλῇ τὸ στόμα, τῆς γυναικὸς τὸ γάλα χρὴ πίνειν. καθάπερ δὲ τῶν μόσχων οἱ ἄρτι τεχθέντες[2] θηλάζοντες ἀνακρούουσι τῷ στόματι τοὺς μητρώους μαζοὺς, ἵνα δὴ αὐτοῖς τὸ ῥεῖθρον ἐπιδίδοι πλέον τοῦ γάλακτος, οὕτω καὶ τῇ τῆς γυναικὸς χρὴ τότε τὸν κακοπαθοῦντα προσφέρεσθαι θηλῇ. καὶ μὴν καὶ ἔλαιον τὸ θερμὸν ἐπιτρεπτέον ὥστε πίνειν, εἶτα πρὸς ἔμετον ἄγειν δεῖ καὶ μὴ βουλόμενον, καὶ[3] τοὺς δακτύλους ἐμβάλλοντα, ἢ πτερῷ χρώμενον, ἢ βιβλίον[4] καθέντας τρίψαντας[5] δι' αὐτοῦ τοῦ λαιμοῦ. ἐὰν δὲ τὸ γάλα ἐν τῇ γαστρὶ παγὲν μὴ ἀποβλύξηται, ὁ δὲ πυγμὸς ἐπιθέμενος ἀναιρεῖ τὸν ἐν τῇ συμφορᾷ, πάλιν ἐπ' ἐκεῖνα ἴεσο τῶν βοηθημάτων, καὶ πρῶτον μὲν οἶνον γλυκὺν ὥστε πίνειν δίδου, εἶτα τὸ δεύτερον ὄξους μετὰ δὴ τοῦτο τυγχανέτω, καὶ ὁ τρίτος πάλιν οἴνου πινέσθω ὑπ' αὐτοῦ ἐπὶ τούτοις κρατήρ. πάντως γὰρ ἡ γαστὴρ ὑπαχθήσεται τοῦ πιόντος. οὕτως γὰρ ἀλλὰ καὶ τῶν ἀπὸ τῆς Λιβύης ῥιζῶν ἀποισῇ τὸ κέρδος, ἐναποβρέχων δηλαδὴ τῷ ποτῷ ταῦτα τῶν δεινοπαθούντων. τοῦτο δὴ σιλφίου καὶ ὑποῦ πρὸς τοῖς ἄλλοις λέγω. καὶ μέν τοι καὶ νίτρον[6] προσμιγνὺς τῇ πόσει ὀνήσεις τοῦ πεφαρμαγμένου[7]. ἀτὰρ οὖν καὶ θύ-

μου

[1] συρνιδος. [2] τιχθεντες. [3] η. [4] βιβλινον. [5] τρυψαντα. [6] λιτρον. [7] τον πιφαρμαγμενον.

μου σχῖνον συμβαλλόμενον εὐρήσεις πρὸς τὴν βοήθειαν. καὶ βότρυς ἐν οἴνῳ βεβρεγμένος μετὰ εὐκνήμου τῆς βοτάνης βρωθεὶς, οὐκ ἔστι βαηθεῖν ἀδόκιμος. καὶ τάμισον δὲ πινόμενον διαλύει τὸ ἐντέροις [1] ἀνακεκηγμένον [2] κακὸν, καὶ ἡδύσμον ἐπὶ τούτοις, καὶ ὃ λέγουσι μελισσόφυλλον. καὶ γὰρ δὴ ταῦτα οἴνου μετὰ στύφοντος ὠφελεῖν δύνανται τοὺς δεομένους πινόμενα. pag. 222.

## ΠΕΡΙ ΔΟΡΥΚΝΙΟΥ.

Τὸ δορύκνιον γάλακτι μὲν ἔοικεν τὴν χροιὰν, γάλακτι δὲ ἔοικεν ὁμοίως τὴν γεῦσιν. ὁ μέν τοι τοῦ δορυκνίου τούτου τῆς κακῆς πόσεως μετεσχηκὼς ὑπομενεῖ τοιάδε. λυγμῷ συνέχεται χαλεπῷ, ὑπαναπρούεταί τε τὸν αὐχένα. δυσφορεῖται δὲ [3] αὐτοῦ τῆς γαστρὸς τὸ στόμα. ἐμεῖ σὺν αἵματι τὴν τροφήν. αἱ διὰ τῶν χωρίων κάτω ἐκκρίσεις μυξώδεις γίγνονται. τηνεσμὸς δέ ἐστιν αὐτῷ [4], ᾧ κατεχόμενος ἀνιᾶται, καλεῖσι δὲ [5] δυσεντέριον τηνεσμὸν οἱ ἐξ Ἱπποκράτους. ἀνιώμενος τοιγαροῦν ἐπὶ τούτῳ σφόδρα, καμνων τε τὸ σῶμα ὑπὸ ξηρότητος, ἔφεσιν οὐδεμίαν ἔχει μεταλαβεῖν ποτοῦ. ἀλλὰ σὺ τούτῳ μὲν εἰς πλῆθος γάλα ἐπίτρεψον πίνειν, καὶ ποτὲ μὲν μίξας δίδου, ποτὲ δὲ καθ' αὑτὸ, ἔπειτα χλιανθὲν τοῦτο, οὐ γὰρ ἄλλως κρεῖσσον. καὶ μὴν καὶ ὄρνιθος καθεψηθείσης ποθὲν ἐπαμύνει τὸ ὕδωρ, καὶ τὸ στῆθος ἀδρυνθείσης κατεσθιόμενον ἐπωφελέστατον, καὶ χυλὸς πτισάνης ῥοφούμενος πρὸς τούτῳ [6] χρήσιμον. ἀλλ' [7] οὐδὲ τῶν ἐν τῇ θαλάττῃ τρεφομένων πρὸς ταῦτα ἐπιεικῶς ἀφεκτέον ζώων, pag. 224.



[1] εν τοις εντεροις. [2] αρκ πεπιγμενον. [3] δυσφορει τε λιαν. [4] αυτος. [5] τι. [6] τουτο. [7] ουδεν δη αλλ'.

ὧν τὰ μὲν ὠμὰ, τὰ δὲ ὀπτηθέντα, καὶ ἄλλα ἑψηθέντα κατεσθιόμενα, παρέχει τῷ κακοπαθοῦντι [1] χορηγίαν ζωῆς. οἵ τε δὴ κοχλίαι πολὺ πλέον, καὶ αἱ κυραφίδες πίνονται [2] ὁμοίως, κὴ ἔχινοι, κὴ τῶν κτενῶν γένος. οἱ γὰρ δὴ κήρυκες οὐχ ὁμοίως τοῖς τοιούτοις δύνανται βοηθεῖν. αὔξεται δὲ ἄρα καὶ τρέφεται ἐν τοῖς βρύοις ταῦτα. ἄπεστι δὲ τοῦ βοηθεῖν τοῖς ὑπὸ τοῦ δορυκνίου κακουργημένοις [3], οἱδὲ τὰ ὄστρεα [4].

## ΠΕΡΙ ΤΟΥ [5] ΦΑΡΙΚΟΥ.

Τὸ δέ γε ἐκ τοῦ φαρικοῦ γιγνόμενον ποτὸν, θανάσιμον ὂν [6] μηδεὶς ἀγνοείτω. διατίθησι [7] μὲν κάκιστα τὸ στόμα, ὀδμὴν δὲ παρέχεται εἰς ταὐτὸ τῇ νάρδῳ. ποιεῖ δὲ ἐπισφαλῶς τὸ βαδίζειν χρῆσθαι, ἔκφρονα πρὸς τούτοις καθίστησιν, ἐν μιᾷ τὸν πιόντα αὐτὸ ἡμέρᾳ ἀναιρεῖ. χρῆσθαι τοίνυν ἀναγκαῖον εἰς τὴν βοήθειαν τῆς ῥᾳδίως πρὸς τὴν ὑγιείαν νάρδους πεφυκώς καλεῖν νάρδου τοῖς ῥιζίοις σταθμῷ. φέρει δὲ ταῦτα μὲν τὰ ῥιζία, τὰ Κιλίκων ὄρη, ὅθεν περ ὁ Κέστρος δεῦρο τοῦ ῥεῖν ἄρχεται ποταμός. σμύρνιον δὲ, καὶ γὰρ τοῦτό ἐστιν ἐπωφελέστατον πρὸς ταῦτα, λάμβανε, καὶ ἶριν ὁμοίως, καὶ λίριον. ἔστι δὲ βοτάνη τὸ λίριον, καὶ τὸ ἄνθος αὐτῆς ὡς ὄνου δείκνυται τὸ μόριον. ἐρίσαι γὰρ οὖν τῇ Ἀφροδίτῃ περὶ λευ-
pag. 2:6. κότητος ἡ φήμη, καὶ τοῦτο διαγγέλλει, τὴν τοίνυν Διώνης καὶ Διὸς νεμεσήσαν ἐπὶ τούτῳ μεταξὺ τῶν φύλλων τοῦ [8] λιρίου ἀνέχειν, ὥσπερ τὴν τοῦ ζώου κορύνην ἔδωκεν. ἀλλὰ [9] καὶ τῆς κεφαλῆς τὰς τρίχας ξυρῷ περι-

[1] κακωπαθ... [2] πινεται. [3] κεκακουργ... [4] οστρια. [5] deest τοῦ. [6] deest ὄν. [7] οιον που διατιθ. [8] της. [9] αλλα μην.

ριαιρούμενος, κατάπλαττε αὐτὴν, ἄρτι μὲν ἀλεσθεισῶν κριθῶν τῷ ἀλεύρῳ, ἄρτι δὲ πηγάνου συναχθέντος φύλλοις ὁμοῦ συναναφυρέντων προσάγε τῇ χρείᾳ, πρότερον μέν τοι ποτίζων τὴν κεφαλὴν νάρδῳ, εἶθ' οὕτως θάλπειν αὐτὴν ἐκ τοῦ παραχρῆμα ἐπίτρεπε.

## ΠΕΡΙ ΥΟΣΚΥΑΜΟΥ.

Ὡς ἐστι χαλεπὸν καὶ λίαν ὁ ὑοσκύαμος, δεῖ τε ἀπέχεσθαι αὐτοῦ, καὶ μὴ δι' ἄγνοιαν φαγόντα, τοῖς ἀπ' αὐτοῦ γιγνομένοις ὁμιλῆσαι κακοῖς, μηδεὶς ἀγνοήσει [1] νηπίων. ἔνιοι γὰρ δίκην ἀγνοοῦντες περιπίπτουσιν ἐσθίοντες αὐτοῦ, εἶτα τὸ σπέρμα ἀπέχοντα, ἢ ταπεινείμενα τῇ κόμῃ τῶν ἄρτι ἀπαγορευσάντων μὲν νηπίων τοῦ τετραποδίζειν, πρὸς δὲ τὴν ὀρθὴν χωρησάντων ἐξ ἀνάγκης βάσιν, τοῖς τε συσπασμοῖς ἐκείνοις, καὶ τοῖς κνησμοῖς περιτυγχάνουσιν οἱ τοιοῦτοι, οἵοις περ οὖν καὶ τὰ παιδία, ὁπότ' ἂν ὑποφύεσθαι αὐτοῖς τὸ πρῶτον οἱ ὀδόντες ἄρχονται [2]. ἀλλὰ τούτῳ μὲν πίνειν γάλα χρὴ διδόναι. ἔστι δὲ βουκέρως τις βοτάνη, ἣ διὰ τοῦτο βουκέρως προσαγορεύεται [3], διότι τοῖς κέρασι τὸ σπέρμα ἔοικε τοῦ βοός. εἶναι δὲ καὶ ἄλλως ἀγαθὴ πέφυκεν ἥδε πρὸς τροφὴν τοῖς ζώοις. αὕτη τοίνυν ἡ βοτάνη [4] ἀμ' ἐλαίῳ ἐψηθεῖσα τοὺς ἀπὸ τοῦ ὑοσκυάμου βλαβέντας ἔστι περισῶζειν δεινῇ. pag. 228.

Οὐ μὴν ἀλλὰ καὶ τὸ σπέρμα τῆς κνίδης ξηρανθὲν ὠφελεῖ καὶ αὐτὰ τῆς κνίδης τὰ καυλία τὸν μα-



[1] αγνοησει. [2] αρχωνται. [3] προσαγορευται.

[4] Quae sequuntur, a vocibus ἀμ' ἐλαίῳ ἐψηθεῖσα, usque ad verba ὑπὸ τῆς σηπεδόνος pag. 368. vers. 7. inclus. ex Vindobonensi descripta proferimus, quum in Mediceo, unius folii abscissione, deessent.

σησαμενον αρα και απομυζησαντα τον χυμον. παλιν δη και τουτο το τε δη καρδαμον ἡ κιχορον, αγρεια δε γε ταυτα τυγχανει λαχανα. ετι μην και το λεγομενον καρυον περσικον και ραφανον παλιν την αγρειαν. ναπυ τε ομοιως σωζει. και αι λεγομεναι γηθυλλιδες, χρομυα δε γε τα λεπτα γηθυλλιδες εισι. και αγλιθες αι των σκοροδων σ' αρκεσαι δυνανται. ταυτα παντα την [1] ..... του υστυχυμου διωσασθαι βλαβην....

## ΠΕΡΙ ΜΗΚΩΝΟC.

Μηκωνος δε της εν κεφαλη φερουσης το σπερμα οι του οπου πεπωκοτες πασχουσι τοιαδε. καθυπνουσι πολλα. επισι τα αρθρα αυτων ψυγμος. τους οφθαλμους κεκλεινους εχουσι. ιδρουσιν αθρον και δυτωδες. οποιαν της μηκωνος οπος αφησιν οδμην, τοιαυτην τουτων ιδρως παρέχεται πνοην. ωχροι τα προσωπα τυγχανουσι. τα γενεια ανεχειν ουχ οιοι τε εισιν των επι τουτοις σφισι χαλασθεντων δεσμων. κεχηνασι δ' ουν δια παντος, και τα χειλη την προτεραν αυτων ου φυλαττι ταξιν. ψυχρον δε δια του αυχενος
pag. 230. σφων διερχεται πνευμα. πελιδνωθεντων δε των συυχων, διαττροφου φανεισης οποτουν της ρεινος παραποδας ο θανατος εφισταται τουτοις. αλλα συ ταυτα μεν ορων καταπληγης μηδενα. αλλ' επαμυνε και μετα του καρπου των μελιττων οινον μιγνυς παραποδας τω πασχοντι διδου. το δε τουτων γενος των μελιττων εκ μοσχου σκηνους μεν την αρχην ειναι κατα φυσιν εδεξατο. εγενοντο δ' ουν αι μελιτται εν νεμεα πρωτον

και

[1] Heic abſciſſae aliquot litterae cum pergameni particula, id quod & paullo poſt factum eſt.

και αι ταυτη δρυες ειχον αυτας. μιμουμενοι γαρ δη την δημητρα ανα μεσον τουτων δρυων και των εν ταυταις τυγχανοντων κοιλων εργαζοντο δη που τα χηρεια και εποιουν μελι, την τε δη ερικην και τον θυμον αιδε ποιουμεναι τροφην. αταρ δη και ροδα αποθλειβων αυτου το υγρον ενσαζε δια των χαλινων [1], μαλλον δε εριον αποβρεχων εις ..... ειν [2] ροδων επιτιθει πληρες τε στο ..... ποτε μεν εξανισταν τις αυτον ..... ποτε δε ενβοαν αυτω και διασι ..... υδοντα, ινα τον οντα και δοκουντα της καρηβαρειας υπνον αποθεμενω διασωθη εξεμεσας το εν αυτω δηλαδη φαρμακον. pag. 232. προσαγεσθω δε κ' ραικεια ελαιω προτερον κ' οινω βρεχεντα κατα παντος μελους ιν' αποψυγεντα εκθερμανθη ταυτι. αποβρεχεσθαι δε εν πυελω και λουειν το σωμα αυτου καθαπαξ προσηκει ωστε το μεν αιμα υγρανθηναι, το δε δερμα κατεκληκος το τουτου καταχαλασθηναι.

## ΠΕΡΙ ΛΑΓΩΟΥ ΘΑΛΑΣΣΙΟΥ.

Κατ' αυτα δε και του λαγωου γιγνωσκειν περι δη σε γε που χρη του εν τη θαλασση ος δη τυγχανει μεν την φυσιν των παντων ολεθριωτατος. οδμην δε τοιανδε παρεχεται οιαν περ αν το υδωρ οιμαι πλυθεντων ιχθυων. την δε γευσιν απ' αυτων ως οντων αυτων και διεφθαρμενων. μελας δε εστιν την ειδεαν κ' υπο ταις της τευθιδω η τευθου πλεκταναις φερεται. υποφερεται δε γε ομοιως και ταις της σηπιας, ηπερ δι-λειας εινεκα που αφιησι θολον ω το υδωρ θολοι. ο γαρ



[1] Priores quatuor litteras, ſcilicet χαλι utpote prorſus fere detritas, ita reſtituendas cenſuimus.

[2] Aliquot litterae abſciſſae cum pergameni particula, quod & de ſequentibus lacunis obſervandum eſt.

δὴ ταυτης της σηπιας λεγομενῳ θολῳ δια το φο-
βεισθαι τους αλιεις και την γιγνομενην εις αυτας παρ
εκεινων θηρκν αφιεται ὑπὸ της σηπειας κατὰ τοῦ
ὕδατος, καὶ οὐκ ἐνέχονται παρὰ σφῖν ἐκ τούτου τῇ
ἄγρᾳ, ἀλλὰ διαφυγγάνουσιν οὕτως τοὺς παρ' αὐτῶν
δόλους. χολὴ μέν τοι παρ' ἐνίων ὁ ἐξ αὐτῶν ὠνόμα-
σται γιγνόμενος θολός. ἀλλ' οὖν ζοφώδης μὲν τοῦ ἀν-
θρώπου ἐπανθεῖ τοῖς μέλεσι καὶ δυσαλθεὶς χροιὰ, ἴ-
pag. κτερος δὲ ἐπινέμεται παντὶ τῷ προσώπῳ, τηκόμεναι δὲ
234. κατ' ὀλίγον αἱ σάρκες αἱ τούτου φθείρονται, καὶ τὸ
ἐντεῦθεν εὑρίσκεται σύμπας [1] διατακείς. τροφῆς τοι-
γαροῦν τὸ παράπαν οὗτος ἔτι προσοίεται οὐδὲν, οὐδὲ
ἀνέχεται. οἴδεταί [2] τε τὸ δέρμα, καὶ ὑποπίμπρα-
ται τὰ τῶν κνημῶν, καὶ ἐπανθεῖ ταῖς παρειαῖς ἔρευ-
θος, καὶ βραχεῖα μὲν τῶν οὔρων ἔκκρισις γίγνεται,
τὴν δὲ χροιὰν τὰ μὲν οὖρα ἔοικε πορφύρᾳ, ἔκκρισις δὲ
ἐνταῦθά τις αὐτῶν αὖθις ὡς πλείστη γίγνεται. ἀνέ-
χεται μὲν οὖν πάσχων [3] ταῦτα, οὐδὲ ὁρᾷν ἰχθὺν, οὐ-
δὲ τροφῆς μεταλαμβάνειν, ναυτιῶν δὲ οἷός ἐστι καὶ
μυσαττόμενος. ἀλλὰ τούτῳ μὲν ἐξ ἑλλεβόρου φωκικῆ
μεταποιητέον δὲ [4] καὶ σκαμμωνίας αὐτῷ νεωστὶ καὶ
προσφάτου [5] αὐτῆς ἐπισκευασθείσης, ὥστε τὸν ἐκ λα-
γωοῦ [6] ποτὸν οὕτω ὀλέθριον τυγχάνοντα ἅμα δὴ τοῖς
ἐκκρινομένοις ἐκβληθέντα ἔξω τοῦ λοιποῦ μετὰ τῶν ζών-
των ἀδεῶς διάγειν, τοῦ θανάτου παρκιτησάμενον τὴν
μέλαιναν ψῆφον. καὶ μὴν προσχρηστέον τῷ τοιούτῳ κὴ
ὄνου γάλακτι, καὶ μαλάχης ἀφεψηθείσης [7] ἱκανῶς τῷ

χυ-

[1] συνπας. [2] οιδενιται. [3] ο πασχων. [4] δοτεον δε.
[5] προσφατος. [6] εκ του λαγω. [7] απεψηθεισης.

χυλῷ [1] τῆς ἴσης τὸν σαθμὸν ἕλκοντος εἰς ὀβολόν. πί-
νοντι μέν τοι αὐτὰ [2] προσχρηστέον τούτοις. ῥοιᾶς τε
πρὸς τούτοις ἐσθιέτω, τῆς τε δὴ πραμνίου οὕτως ὀνο-
μαζομένης, καὶ ἄλλης Κρησίδος, καὶ οἰνώπης ἄλλης,
ἃς οἱ τῶν Μεγαρέων δήπου γεωργοῦσι κῆποι. εἰσὶ
δὲ ἁπαλαὶ, καὶ καλοῦσιν αὐτὰς ἀπυρήνους. ναὶ μὴν pag.
καὶ τὸν τῆς ἀμπέλου καρπὸν ὑποβαλὼν κυρτοῖς, ἐν 236.
οἷς ὁ τῆς ἐλαίας καὶ δῆτα ἐκθλίβεται καρπὸς, τούς
τε δὴ μεταξὺ τῶν κόκκων ὑμένας γιγνομένους τῆς ῥοι-
ᾶς τῷ τῆς ἀμπέλου συνέκθλιβε καρπῷ, ἔπειτα καὶ
καθ' αὑτοὺς τῆς ῥοιᾶς τοὺς κόκκους ἀποθλίβων, τῷ ἐξ
αὐτῶν πρὸς ταῦτα κέχρησο πόματι.

## ΠΕΡΙ ΒΔΕΛΛΗΣ.

Εἰ δέ τις εἴη γεγονὼς ἐν ἐπιθυμίᾳ τοῦ πιεῖν,
εἶτα βουλόμενος ἄκεσιν παρ' αὐτὰ τῆς δίψης εὕρασθαι
ἐλθών που πλησίον οὗτος, καὶ παρὰ τὸ χεῖλος τοῦ
ποταμοῦ, καθάπερ ταῦρος ἐπιπεσὼν πίνει τοῦ ὕδατος,
τὰ λεπτὰ τῶν μυιῶν [3] τῇ χειρὶ τοῦ ὕδατος διαξέλ-
λων φύλλα. φερομένη δὲ ὑπὸ τοῦ ῥοῦ βδέλλα ἐμπε-
σοῦσα [4] τῇ τοῦ πίνοντος κατὰ ποθῇ ῥώμῃ [5] προσφῦ-
σα ἔνθα περ ἂν τύχῃ ἐκμύζᾳ τοῦ ἀνθρώπου τὸ αἷμα
ἐφέσει τῆς τροφῆς. ἔστι γὰρ ἡ βδέλλα λαγαρή τε
καὶ αἵματος ἐπαυρᾶσθαι διαπαντὸς θέλει. ὁ τοίνυν
καταπιὼν τὸ θηρίον τοῦτο, οὐκ ἂν ποιεῖ καλῶς εἰ
πίνοι χλιαρόν. ἐπιπνιχόμενον γὰρ δὴ τῷ χλιαρῷ τούτῳ
ἄλλοτε ἀλλαχοῦ, καὶ δὴ τοῖς ἔνδον χωρίοις ἐμφυόμε-
νον προσπελάζει καὶ ἀμέλγει τοῦ ἀνθρώπου τὸ αἷμα.

καὶ

[1] τω χυλω και κιδρινης πισσης τον σαθμον, κ. λ.
[2] αυτω. [3] μυειων. [4] ενπαισουσα. [5] ρυμη.

καὶ ποτὲ μὲν ἥδε δι' ὄχλου γίνεται τῇ φάρυγγι, ὅθεν περ τοῦ πνεύματος ἡ ὁρμὴ προχωρεῖ, ποτὲ δὲ ἐν τῆς γαστρὸς τῷ στόματι κεῖται, λυμαινομένη τῷ ἀνθρώπῳ, καὶ τῆς τροφῆς οὕτως αὐτῷ σύννομος γίγνεται. ἀλ-
pag. 238. λὰ τούτῳ μέν ποτε ὄξος τῷ ἀνθρώπῳ τό τε χιονοφαγητέον δ' αὖ, καὶ πάλιν κρύσταλλον μασητέον. καὶ λήτρου γενομένου διύγρου λίαν, ὡς ποτὸν πρόσφερε, ἢ ἀλῶν ἐκλυομένων καὶ τούτων τὸ ὕδωρ, ἢ αὐτοὺς τοὺς ἅλας αὐτὸν μασᾶσθαι κέλευε. καὶ μέν τοι καὶ τὴν ὑπὸ τῶν πηγνύντων τοὺς ἅλας συναγομένην γῆν, εἰς ὕδωρ ἐκλύων, πίνειν ἐπίτρεπε τῷ κακῶς ὑπὸ τῆς βδέλλης διατιθεμένῳ. ἁλοσάχνην δὲ τὴν γῆν ταύτην προσαγορεύουσιν οἱ μιγνῦντες πρὸς τὴν πῆξιν τῶν ἁλῶν ὕδατι τὸ ὕδωρ.

## ΠΕΡΙ ΤΩΝ ΜΥΚΗΤΩΝ[1].

Οἱ δὲ μετὰ τὴν βρῶσιν λυπηροὶ τοῖς ἀνθρώποις ἀναφαινόμενοι πολλάκις μύκητες[2]. ἀνοιδοῦνται γὰρ οὖν ἐν τῇ γαστρὶ, καὶ ὀδύνας σφοδρὰς τοῖς αὐτοὺς φαγοῦσι παρέχουσιν, ὅτ' ἂν[3] ἐκ τοῦ τῆς ἐχίδνης ἰώδους ἄσθματος ἐφυπνωτάτης αὐτοὶ μεταλαβόντες εὑρεθῶσιν. ἄλλοι γὰρ[4] ἄλλως ὀνομαζόμενοι εὑρίσκονται. οὗτοι δή τοι[5]
pag. 240. πονηρὸν οὐκ ἂν δράσαιεν τὸν φαγόντα, εἴπερ ἔχει[6] κατεσθίειν οὗτος τοὺς τῆς κράμβης καυλοὺς, καὶ τοῦ πηγάνου τὰ κλωνία[7] τυγχάνοντα, καὶ τὸ λεγόμενον χαλκοῦ ἄνθος. προσταττέσθω πίνειν ἐπὶ τούτοις ἀμπέλινον τέφραν ὄξει φυραθεῖσαν. λαμβανέτω καὶ μέν τοι τοῦ καλουμένου πυραίθρου τὰς ῥίζας συγ-

[1] ΠΕΡΙ ΜΥΚΗΤΟΣ. [2] In marg. Vindob. Cod. ſcriptum heic eſt ξωληται. [3] οποταν. [4] παρ. [5] τι. [6] ϛχοι. [7] κλωνεια χλωρα.

συγκόπτων [1] , καὶ σὺν λήτρῳ λείων . πράσον τε πρὸς τούτοις , καὶ ὡσαύτως μῆλον , σίνηπί τε ὁμοίως , κ᾽ τὴν λεγομένην καρδαμίδα , καὶ πεφρυγμένην οἴνου τρύγα , καὶ ὄρνιθος τῆς ἐν ποσὶ τὰ περιττώματα διαφόρως λαμβανέτω . εἶτα καθιεὶς τοὺς δακτύλους τὸν ἐκ τοῦ μύκητος τῷ φαγόντι κατασκευαζόμενον ἀποβλύζειν ἐῶν παραιτοῦ θάνατον .

## ΠΕΡΙ ΣΑΛΑΜΑΝΔΡΑΣ .

Τοῦ ἐκ τῆς σαλαμάνδρας κατασκευαζομένου θανατικοῦ , οὐ ῥᾳδίως οὐκ ἄν τις ὑπερέλθοι πιὼν , ἐπειδάν τις λάβῃ , τὴν μὲν γλῶσσαν παχύνεται , καὶ μάλα ἱκανῶς . αὕτη δὲ ἡ σαλαμάνδρα τὸ μὲν εἶδος παρέχεται οἷόν περ ἡ σαῦρα , δέρμα δὲ λιπαρὸν ἔχει , ἐν πυρὶ δὲ οὖσα πάσχει οὐδέν . τῶν μέν τοι πεφαρμαγμένων , ναρκώδες γίγνεται τὸ σῶμα , καὶ ὅλον ἀσθενὲς , καὶ κομιδῇ τρέμειν , οἵ τε πολλίες [2] φέρειν σφαλλόμενοι τοῦτο ἥκιστα δύνανται . καὶ ἁπλῶς ἔοικεν ἀεὶ μέλλοντι τῷ πίπτειν παιδίῳ , ἄν τις εἰκάσειεν αὐτὸν ἄρτι τοῦ βαδίζειν ἀρχομένῳ . τὰ δέ γε τῆς διανοίας καὶ ταῦτα ἐξησθενηκότα , καὶ παραπολὺ τυγχάνει τοῦ φρονεῖν ὑγιεινὰ , ἡ ἄρτιά . καὶ οὐ πᾶν ἐρυθρὸν , ἀλλὰ κατὰ τόπους τὸ σῶμα γίγνεται , καὶ μώλωπας ἔχει , κ᾽ ζοφώδης αὖθις αὐτοῖς ἐπιτρέχει χροιά . pag. 242.
ναὶ μὴν ἀλλὰ σὺ τούτῳ [3] φέρων μέλι τενθρηδόνος μετὰ πίσσης λαμβάνειν κέλευε , χαμαιπίτυός τε βλαστούς , καὶ κώνους , ὅσους πεύκαι φέρουσι , ἑψηθέντας ὁμοῦ καὶ ποθέντας οὐκ οἴονται μὴ ἐπαλεξῆσαι , ὥςε τούτῳ σὺ χρῷ , ἀλεύροις τε ὀρόβων ἅμα ἑψῶν κνίδης σπέρ-

[1] συγκοπτων . [2] πολεθ . [3] τουτω μεν .

σπέρμα, ἐσθίειν εἰς κόρον δίδου καὶ μὴ βουλομένῳ τῷ κάμνοντι τούτῳ, ἐλαίου δὲ ἐχέτω, οὐ γὰρ μὴ οὐκ ἔσται εἰς τόδε κάλλιστον ἰσχύσαι, καὶ παριδέσθαι τοῦ κινδύνου τὸν ἐπὶ [1] τῇ συμφορᾷ. ῥητίνην τοίνυν ἐπὶ τούτοις καὶ μέλι καὶ χαλβάνης ῥίζας καὶ ὠὰ χελώνης ἑψημένα, συμμίξαντα ταῦτα πάντα δίδου προσήκει τῷ κάμνοντι. ἔτι μὴν καὶ συὸς θεραπεύει τὰ ἔκγονα, χελώνης τε αὖ μετὰ τούτων ἑψηθέντα κρέα. ἡ μὲν οὖν χελώνη αὕτη θαλαττία ἔστω. κέχρηται δὲ οἷον πτεροῖς τέμνουσα τὸ ὕδωρ ἥδε τοῖς ἑαυτῆς ποσί, καθάπερ τὸν ἀέρα τοῖς πτεροῖς τέμνει τὸ τῶν πτηνῶν γένος. ἔστι δὲ καὶ τῆς [2] ἐν ὄρει τρεφομένης χελώνης τὰ κρέα χρήσιμα. ταύτης δὲ νομὴ μὲν ἡ βοτάνη κύτισος γίνεται. λέγει δὲ ὁ λόγος τῆς χελώνης, ὡς αὐτὴν ὁ Διὸς καὶ Μαίας οὐ πρότερον οὖσαν Μούσαις
pag. 244. φίλην, ἐποίησε φίλην. τῶν γὰρ δὴ σαρκῶν τὴν χέλυν αὐτῆς ἀποφαίνει γυμνήν, καὶ προσχησάμενος ἀγκῶσι, καὶ τούτους αὐτὸς [3] ἐπιθεὶς τοῖς ἄκροις πρῶτος, ἐποίησε κιθάραν, καὶ ἐκιθάρισεν. καὶ μὲν δὴ βατράχους τῶν παλαιῶν, καὶ ἠρυγγίου δὴ τὰς ῥίζας εἰς ταὐτὸ [4] ἅμα τῇ [5] σκαμμωνίᾳ ἑψῆσθαι πάρεχε, εἶτα εἰς κόρον πίνειν δίδου τῷ πεφαρμαγμένῳ. ἀνώλεθρον γὰρ τοῦτόν πως διαφυλάξαι δυνήσῃ [6], κἂν ἦ πρὸς αὐταῖς ὡς εἰπεῖν τοῦ ᾅδου ταῖς πύλαις.

## ΠΕΡΙ ΤΟΥ ΦΡΥΝΟΥ.

Ἐπειδὰν δὲ πίῃ τις ἐκ φρύνου φάρμακον κατεσκευασμένον, ἄφωνος δέ ἐστιν ὁ φρύνος, καὶ τῶν λι-

[1] εν. [2] τησδε. [3] αυτης. [4] ταυτο συμβαλλων.
[5] Deeſt τῇ. [6] δυνησει.

λιμναίων εἰς μέγεθος βατράχων, ἀπολιμπάνεται καταπολύ. ἔστι δ' οὖν ὡς ἔπος εἰπεῖν οὗτος χερσαῖος βάτραχος, βόσκεται μέν τοι τὴν δρόσον, καὶ τῷ θέρει διηνεκῶς τὰς θάμνους διώκει. ὠχροὶ δ' οὖν οἱ πιόντες μαλιστα ἐκ τούτου γίγνονται, καὶ τῇ θαψίᾳ τὴν χροιὰν [1] ἔχουτι, τὰ μέλη ὑποπιμπράμενα αὐτῶν ἐστιν, ἀσθμαίνουσι πολὺ καὶ συνεχὲς, ἐχθυδαπὸν [2] δέ ἐστιν αὐτοῖς ὅπερ ἀσθμαίνουσι, διότι χαλεπὸν ἐξόζει καὶ χωρεῖ διὰ τῦ στόματος αὐτῶν βαρειά τις ὀδμή. ἀλλὰ τούτοις μὲν ὠφελιμώτατον τυγχάνει ἑψηθεὶς βάτραχος, γένοιτο δ' ἂν εἰς τροφὴν κάλλιστον καὶ ὀπτὸς, καί [3] πού τισιν δοθῇ. καὶ πίσσα σὺν οἴνῳ ἑψηθεῖσα ποθεῖσα μέγιστα ὠφελεῖ. αὔταρκες δὲ πρὸς σωτηρίαν καὶ σπλὴν ἂν γένοιτο τῷ λαβόντι εἰς ὀβολὸν σταθμοῦ λιμναίου βατράχου τοῦ ἐπὶ τῶν βρύων ἀνιόντος, κ᾽ προαγγέλλοντος τὴν ἔαρος ὥραν, καὶ ὡς οὐδὲν ἄρα τοῦ ἔαρος τυγχάνει κάλλιον. ὁ δέ γε ἕτερος pag. 240.
τῶν βατράχων, ὁ τὰς θάμνους ἐπιὼν τῷ θέρει, φωνὴν δὲ οὐκ ἔχων, ποιεῖ ποτε μὲν ὡς πύξου γίγνεσθαι τοῦ βλαβέντος τὸ χρῶμα, ποτὲ δὲ μοχθηρᾶς τὸ στόμα ἐμπίμπλησιν ὀδυνῆς, λυγμούς τε ἐπιγίγνεσθαι κ᾽ σπασμοὺς συνεχεῖς παρέχει. ἔτι μὴν ἀγόνους ἄνδρας καὶ γυναῖκας ἀντικρὺ [4] καὶ δεινὸν τίθησιν. ἐξασθενούντων γὰρ τῶν μορίων καὶ ἐλαττουμένων τῆς σφῶν κατὰ φύσιν δυνάμεως, τὸ σπέρμα προχωρεῖ ἀτάκτως καὶ ἄ κατὰ λόγον. καὶ τούτοις τοίνυν οἶνον πολὺν ἐγχέων καὶ παρέχων πίνειν αὐτοῦ, σφόδρα ἐμεῖν ἀνάγκαζε. ὡσαύτως καὶ τὰς δι' ὀστράκων πίθου τῷ παθοῦντι [5] πυρίας πρόσφερε. καὶ γὰρ ἦν λίαν ἀνιάτως φαίνοιτο

καὶ

[1] την χροιαν την αυτην. [2] εχθοαπον. [3] ην. [4] αντικρυς το δεινον, κ. λ. [5] κακοπαθουντι.

καὶ πονήρως ἔχων ἱδρώτας, οὐκ ἂν μὴ ῥᾷον διατεθήσεται, ἀλλὰ γὰρ [1] καὶ τῶν μεγάλων καλάμων τὰς ῥίζας ἀποτεμὼν, εἰς οἶνον ἐμβαλὼν ἀπόβρεχε. τρέφουσι δὲ τοὺς καλάμους οἱ δίυγροι [2] τούτους πάντως καὶ λιμνώδεις τόποι. ἄρ' [3] οὖν καὶ ταῖς κυπερίσι κέχρησο πρὸς τὸν τούτου ποτόν. ἄλλως δὲ ἀποτρεπε τῷ πίνειν ἢ ἐσθίειν ὅλως, ἐκ τυχῶν δὲ αὐτὸν ὠφελήσεις [4] προσπίνειν ἀναγκμάζων ὡς οἷόν τε συχνοῖς περιπάτοις χρῆσθαι.

## ΠΕΡΙ ΛΙΘΑΡΓΥΡΟΥ.

Οὐκ ἂν λιθάργυρος ποθεῖσά τινα διαλάθοι ποτέ. pag. 248. αὕτη γὰρ πρῶτον μὲν βαρύτητα προστρίβεται τῇ γαστρὶ ποθεῖσα. ἔπειτά πῃ περὶ τὰ σπλάγχνα πνευμάτων τε κινήσεις ἰσχυρὰς καὶ ἤχους οἷον δή τινας περὶ τὸν ὀμφαλὸν ἐργάζεται, εἰλιγγιαῖον [5] παρασκευάζει, τὰ ὦρα προχεῖσθαι ὑ συγχωρεῖ, ὑποπίμπρησι δὲ καὶ τὰ μέλη, τῷ μολίβδῳ τὸ χρῶμα ἔοικεν [6], καὶ ποιεῖ πάντα ταῦτα. ἀλλὰ καὶ [7] θεραπευει [8] σμύρνα σταθμιζομένη τὴν ὁλκὴν εἰς ὀβολὸς δύο, καὶ ὄρμινον ἡ βο- [9] lic. τάνη, ὑπερικόν τε δὴ τὸ ἐν τοῖς ὄρεσι τρεφομένη [9], καὶ ὑσσώπου κλῶναι, κράδη τε πρὸς τούτοις, καὶ μέν τοι καὶ τὸ τοῦ σελίνου ἐπὶ πᾶσι σπέρμα, ὃ δὴ ἐν Ἰσθμῷ τοπρῶτον λόγος ἔχει φῦναι. ἔχει δὲ ὁ αὐτὸς περὶ αὐτῆ ὧδε διαγγέλλων λόγος, ὡς οἱ Σισίφε ἀπόγονοι τὸν ἐπὶ τῇ Μελικέρτε ταφῇ ἐν Ἰσθμῷ ἄγοντες ἀγῶνα, ἐχρήσαντό τε τῷ σελίνῳ πρῶτοι, καὶ ἐστεφα- [10] lic νώσαντο. πρὸς τούτοις ἦν δὴ πένερις [10] προσαγορεύουσι τοῦ φυτῆ κλωνία καὶ ἐρύσιμον τὴν βοτάνην, ἅμα κόπτων

[1] γαρ δη. [2] διοιγροι. [3] ατερ. [4] ὠφελησεις προσαναγκαζων ως, κ. λ. [5] ιλιγγιαν. [6] εοικενκι ποιει, κ. λ. [7] Deeſt καὶ. [8] θεραπευει ταυτα παντα.

πτων ταῦτα, τῷ κακῶς ὑπὸ τοῦ φαρμάκου διακειμένῳ ἐπάμυνε, δίδους οἴνου μέν τοι. ἀλλὰ μὴν καὶ κύπρου τῆς βοτάνης βλάστους, καὶ τὰ πρῶτον [1] ῥοιῶν ἄνθη ἐπ' αὐτοῦ γιγνόμενα τοῦ φυτοῦ τῆς ῥοᾶς, καὶ τοῦ κυτίνου τοῦ εὐκνήθους καρπὸν σὺν οἴνῳ, καὶ ταῦτα τῷ νοσοῦντι δίδου.

## ΠΕΡΙ ΤΟΥ ΣΜΙΛΟΥ.

Σμῖλός [2] ἐστι φυτὸν, καὶ παρέσχε τῇ ἐλάτῃ. θανάσιμον δὲ γίγνεται τοῦτο τοῖς αὐτοῦ λαβοῦσι, καὶ ἀκράτου πόσις οἴνου αὐτὸ οὐκ ἐᾷ κακουργεῖν. ἰᾶται δὲ ὁ οἶνος αὐτὸ ἐκ τοῦ πραχρῆμα, ἢν μὴ φθάσῃ ἀποφαγεῖν [3] ὅ τε λαιμὸς καὶ τὰ παρίσθμια. ἐναποτίθεται γὰρ τὸ δεινὸν ἡ σμῖλος τοῖς μορίοις τοῦ ἀνθρώπου, οὗπερ ἂν καὶ ἡ πόσις ἡ τύχῃς γένηται [4]. pag. 250.

Ἀλλά σέ γε, ὦ Πρωταγόρα, τῶν παρ' ἐμοῦ ῥηθέντων ὅλως ἡ μνήμη τῶν ἐπῶν μήποτε πρέλθοι, φυλάττεσθαι [5] ὑπό σου καὶ τοὺς τοῦ ξενίου Διὸς εἰς ἐμὲ καθήκοι διαπαντὸς θεσμούς τε καὶ νόμους. pag. 252.

[6] Τέλος τῆς παραφράσεως Εὐτεκνίου τοῦ σοφιστοῦ.

[1] προ των. [2] λεγομενος, corr. λεγομενον, σμιλος.
[3] αποφραγηναι. [4] Vltimi paragraphi, in quo aliud contra fungorum venena remedium proponitur, deeſt in utroque Codice Metaphraſis. [5] φυλαττεσθαι δε.
[6] ΠΑΡΑΦΡΑCIC ΕΙC ΤΑ ΝΙΚΑΝΔΡΟΥ ΛΛΕΞΙΦΑΡΜΑΚΑ ΕΥΤΕΚΝΙΟΥ CΟΦΙCΤΟΥ. Inde ſequitur idem fragmentum, Eutecnianae credo Paraphraſeos in Oppiani de Piſcatione libros, quod in Florentino etiam occurrit, huic tamen Metaphraſi praemiſſum.

# QVAE IN HOC VOLVMINE CONTINENTVR HAEC SVNT.


I. *Operis Dedicatio.* III.
II. *Praefatio editoris.* VII.
III. *Nicandri Vita ex Bibliotheca Graeca Io. Alberti Fabricii.* 1.
IV. *Eadem Graece, vetere Scholiaſte Auctore.* 12.
V. *Adriani Turnebi, & Io. Ant. Baifii Carmina in laudem Io. Gorrhaei, Nicandri Theriacon interpretis.* 15.
VI. *Nicandri Theriaca, Graece, Latine, & Italice.* 18.
VII. *Io. Gorrhaei Medici Pariſienſis celeberrimi in eadem Adnotationes.* 131.
VIII. *Nicandri Alexipharmaca, Graece, Latine, & Italice.* 179.
IX. *Io. Gorrhaei in eadem Adnotationes.* 253.
X. *Eutecnii Sophiſtae in Nicandri Theriaca, & Alexipharmaca Metaphraſis, quae nunc primum in lucem prodit.* 283.



IMPRESSVM FLORENTIAE
QVAM DILIGENTISSIME
IN AEDIBVS MOVCKIANIS
ANNO CIↃ. IↃ. CC. LXIIII.
DIE VII. MENSIS SEPTEMBRIS
IN PERVIGILIO NATIVITATIS DEIPARAE
FELICITER.


I.AG 2021176